1. ὁ μὲν Ποιητὴς] Schol. Ven. in Il. π'. 336. μέλεον ἀντὶ τοῦ μελκῶς, ματαίως. καὶ διὰ παντὸς οὕτως Ὅμηρος χρῆται· οἱ δὲ τραγικοὶ ἐπὶ τοῦ οἰκτροῦ καὶ τάλανος, καὶ ἡ συνήθεια. Conf. in Il. κ'. 480. ψ'. 785. Gaisf. 3. Καὶ οὐκ ἂν ἁμάρτοι τις εἰπὼν τὰς μὲν μελ.] Haec Casaubonus ad Polybium refert: sed sunt verba Iosephi lib. III. de Bello Iud. c. 6. p. 835. [III, 5, 1.] ut Pearsonus etiam observaverat. Küst. 8. Ὥσπερ οἱ νέοι τῶν ἀετῶν ἁπαλ.] Fragmentum hoc deprompsit Suidas ex Philostr. de Vit. Apoll. lib. I. c. 5. (7.) Confer etiam Nostrum supra v. Εὔξενος, ubi hic ipse locus legitur. Küst. οἱ νέοι] οἱ om. A. B. V. E. Edd. ante Küst. Mox scribendum ἐν ἁπαλῷ. 11. δύνωνται] δυνηθῶσιν Philostr. 12. κνίσσης] κνίσης A. V. 14. Μελέτωρ. ὁ ἐπιμελούμενος] Ex Schol. in Sophoclis versus Electr. 846. sq. 18. Μέλλει. ἔοικεν] Homerus Il. α. 564. Ἐμοὶ μέλλει φίλον εἶναι. Scholiasta in eum locum: Μέλλει. ἔοικεν. Huc Suidas respexit. Hesychius: Μέλλει. φαίνεται, ἔοικε, δοκεῖ. Male ibi vir doctus μέλει reponit. Photius quoque in Lexico inedito μέλλει exponit ἔοικε. Hinc autem apparet in prioribus edit. Suidae pro μέλλει male excusum esse μέλει. Küst. Μέλει etiam B. V. E. Adde Schol. Platon. p. 417. et Tollium in Apollon. p. 449. τέθειται] τέθειται dedi cum A. V. 19. Μέλεν μοι τῶν τ:] Male haec subiiciuntur voci μέλλει, quae ad v. μέλει pertinent. Küst. οὐδὲν ἧττον τῶν ἐν τ.] Male. Vel enim scribendum est, οὐ μᾶλλον ἢ τῶν, etc. Vel ἧττον ἢ τῶν ἐν τ. omissa voce οὐδέν. Posterius malo, quoniam proverbium hoc sic efferri video apud Iulianum in Misopog. p. 90. [357. D.] ubi apostata ille inquit: Οὐχ ὅτι τοὺς ἄλλους ἀποστερῶ τούτων, ἀλλ' ὅτι μέλει μοι τῶν τοιούτων ἧττον ἢ τῶν ἐν τοῖς τέλμασι βατράχων. Hinc proverbium istud Suidam deprompsisse puto. Küst. Addit Gaisf. Stobaei Append. e MS. Flor. T. IV. p. 21, 24. Sed οὐδέν repetitur etiam in v. Τέλμα: ut dubitari possit, utram in glossam exemplum illud irrepserit. Agnoscit item Arsenius p. 349. Interim ἢ suppeditarunt A. V.

Imperans civitatibus, ut aegrotantes curarent et alerent. Μελεδήματα. Curae. Et μελεδήμων. In Epigrammate: *Illa vero [dedicavit] pectinem, qui telam crebro pulsatam perfecit.* Μελεδωνός. Curator. Aelianus: *Ille vero fratrem suum filii tutorem et bonorum curatorem reliquit: sed impius ille pupilli bonis inhiabat, eaque sibi vindicare cupiebat.* Et Eunapius: *Mulierem, quae mores eiusdem populi sequeretur, alba veste et coronis ornatam misit, quasi sacerdotem Deae Syriae ita appellatae.* Et Aelianus: *Qui erat Neronis libertus, negotiorum in urbe Roma relictus curator et inspector, Nerone in Achaiam profecto.* Μελεδωνοί. Tutores, curatores, apud Herodotum. praefecti. tales in Euangelio sunt praefecti vineae. Μελεΐστί. Membratim. Μέλεος. Vanus, miser, aerumnosus, infelix. Poeta vocem ponit de vano; Tragici vero de misero. Μελέτη. Meditatio. exercitatio. *Neque erraverit, qui exercitia Romanorum dixerit pugnas esse incruentas, pugnas vero exercitia cruenta.* Μελετώμενοι. Qui docentur, qui discunt. *Ut aquilarum pulli, cum tenerae adhuc illis sunt alae, iuxta parentes volant, ab iis volatum discentes; postquam vero adultiores se in sublime efferre possunt, ipsos parentes volatu superant; praecipue vero, cum eos praedae cupidos esse et nidoris causa prope terram volare sentiunt.* Μελέτωρ. Qui rem curat, vindex patris. *Apparuit enim vindex lugentem ulciscens.* Μέλλει. Apparet. hic vocis usus est apud Homerum. Proverbium: *Haec non magis curo quam ranas palustres.*

Μέλει. φροντίζει. Μέλλει δὲ ἀντὶ τοῦ βραδύνει. καὶ μέλλω, τὸ ὀφείλω.

Μελείρηνες. τῶν παίδων οἱ πρεσβύτεροι.

Μέλη. τὰ τοῦ σώματος.

Μελῳδόν. κατὰ μέλος.

Μέλημα. φρόνιμα.

Μέλης, Μέλητος. ὁ τοῦ Ὁμήρου πατήρ.

Μελλήσας. ὑπερθέμενος, βραδύνας. καὶ ἐπὶ τοῦ σπουδάσας.

Μελήσερμος, Ἀθηναῖος, σοφιστής. Ἔγραψεν Ἐπιστολῶν Ἑταιρικῶν βιβλία ιδ΄ καὶ Ἀγροικικῶν ἓν, Μαγειρικῶν ἐπιστολῶν ἓν, Στρατηγικῶν βιβλίον α΄, Συμποσιακῶν βιβλίον ἕν.

Μελησία, ὄνομα κύριον. Ὁ δὲ ὁρᾷ τὴν Μελησίαν, καὶ ἐρᾷ αὐτῆς.

Μέλλησις. ὑπέρθεσις.

Μελλησμός. ἡ βραδυτής.

Μελήσω. σπουδάσω, φροντίσω.

Μελλητaί. ὑπερθετικοί.

Μέλητος. τραγῳδίας ποιητὴς ὑπόψυχρος. καὶ Ἀριστοφάνης·

Σκολιὰ Μελήτου, Καρικῶν αὐλημάτων.

οὗτός ἐστιν ὁ Σωκράτην γραψάμενος. κωμῳδεῖται δὲ ὡς ψυχρὸς ἐν τῇ ποιήσει καὶ ὡς πονηρὸς τὸν τρόπον. τὰ δὲ Καρικὰ αὐλήματα καὶ μέλη ὀρηνώδη ἦσαν.

Μέλητος, Λάρου, Ἀθηναῖος, ῥήτωρ. οὗτος ἐγράψατο Σωκράτην μετὰ Ἄνυτου. πεποίηνται δὲ αὐτῷ καὶ τραγῳδίαι. κατελιθώθη δὲ ὑπὸ τῶν Ἀθηναίων.

Καὶ ἦν ἐπὶ τῶν Ζήνωνος τοῦ Ἐλεάτου καὶ Ἐμπεδοκλέους χρόνων. οὗτος ἔγραψε περὶ τοῦ Ὄντος. καὶ ἀντεπολιτεύσατο δὲ Περικλεῖ· καὶ ὑπὲρ Σαμίων στρατηγήσας ἐναυμάχησε πρὸς Σο-

---

1. *Μέλει*] Hanc gl. habet A. in marg. Vide Boissonadum in *Notices et Extraits* T. X. p. 295. *ἀντὶ τοῦ*] *τὸ* V. 3. *Μελειρηνες*] Scribendum est *μελλείρηνες*, per duplex $\overline{\lambda\lambda}$ in prima et $\bar{\epsilon}$ in penultima syllaba. Composita enim est haec vox ex *μέλλω* et *εἰρήν, ηνος*: eodem modo, quo *μελλέφηβος* ex *μέλλω* et *ἔφηβος*. *Εἰρενες* autem apud Lacedaemonios dicebantur illi, qui annis duobus aetatem pueritem excesserant: quibus qui aetate proximi erant, vocabantur *μελλείρενες*: velut *μελλέφηβοι*, qui ephebis proximi erant. Plutarchus in Lycurgo p. 50. *Εἰρενας δὲ καλοῦσι τοὺς ἔτος ἤδη δεύτερον ἐκ παίδων γεγονότας· μελλείρενας δὲ τοὺς παῖδων τοὺς τριακαιδεκάτους.* Ad hunc locum Plutarchi Suidam respexisse puto. Hesychius: *Ἰρένες, μελλέφηβοι.* Rectius divisset, *Εἴρενες*: ut ex iis quae diximus liquet. *Küst.* Scribendum etiam *οἱ πρεσβύτατοι*. Cf. Mülleri Dor. II. p. 301. 7. *Μέλας*] Meles fluvius Smyrnam circumfluens: inde dic. Homerus *Μελησιγενὴς* et *Μέλητος υἱός*. Meleager dixit *Μελητείους Χάριτας*, et Tibull. IV, 1, 20. *Meleteas chartas* de Homero. Stat. Papin. II. Silv. 7, 33. *Graiu nobilior Melete*. Ib. III, 3, 61. *Lerendo fonte Meles*. Vid. ibi Barth. *Reines*. Accedat Herod. Epimer. p. 81. 8. *Μελλήσας*] Sic recte MS. A. At in prioribus edit., [et B. E.] male *μελήσας*, per unicum *λ*. *Küst.* Accedit Hesychius. *ἐπὶ τοῦ σπουδάσας*] Et hanc lectionem ex optimo MS. A. revocavi. [Sic Photius et Lex. Bachm. p. 297.] Priores cum edit. [et B. E.] minus recte habent *ἐπισπουδάσας*. Ceterum interpretatio haec pertinet ad vocem *μελήσας*, non *μελλήσας*. *Küst.* Vid. intpp. Hesychii v. *Μελλήσω* et infra v. *Μελήσαι*. 10. Eadem *Eudocia* p. 301. 12. *Μαγειρικῶν ἐπιστολῶν ἓν*] MS. A. [cum V.] post haec verba addit, *Στρατηγικῶν* [*βιβλίον* per compendium] *ἓν*. *Küst.* *ἓν*] *β΄ β΄ ά* A. (*V. quid habeat obscurum) qui in fine *β΄. ά*. 14. *Ὁ δὲ* om. A. 17. *Μελλησμός*] *Μελησμός* A. B. E. Med. *μελεσμός* *V.

1. *Μελήσω*] *Μελλήσω* Photius. *φροντίσω* om. Zon. p. 1351. 2. *Μελλητaί*] Thucyd. I, 70. Eadem Hesychius. 3. *Μέλητος, τραγῳδίας*] Ex Schol. Aristoph. Ran. 1337. *Küst.* *Μέλητος* A. qui hunc articulum cum duobus seqq. collocat non post *Μελίτου μυελός*, ut in edd., sed ea in sede, ubi nunc legantur. *Μέλιτος* V. qui tamen ponit post *Μελλητaί*. Vid. notam in Aristotelis Rhet. III, 18, 2. ed. Oxon. 1820. Dobraeum in Aristoph. Ran. 1337. *Gaisf.* 5. *Σκολιὰ Μελήτου, Καρ.*] Apud Aristophanem loco laudato hodie legitur, *Σκολιῶν Μελίτου, καὶ Καρικῶν αὐλημάτων*: ubi cetera quidem recte se habent: sed vocula *καὶ* delenda est. Syllaba enim media in *Μελίτου* longa est; eamque ob causam modulus versus dictam vocalem respuit. *Küst.* Haec omnia redeunt sub v. *Σκολιά*. *Μελήτου* A. 8. *μέλη*] *καὶ μέλη* A. B. V. E. Edd. ante Küst. 10. *Λάρου*] *Λαΐου* Clinton. Fast. Hellen. Introd. p. XXXIV. usus Schol. Plat. p. 330. *Ἀριστοφάνης . . . Λαΐου υἱὸν αὐτὸν λέγων, ἐπεὶ ᾧ ἔτει οἱ Πελαργοὶ ἐβδόμηκοντα, καὶ ὁ Μέλητος Ὀλυμπιάδειαν κατῆγεν.* Verum repugnat ille locus manifesto, quippe qui dicacitatem Aristophanis testificetur, misellum poetam et quasi infernalem (v. Athen. XII. p. 551.) ad infelicissimam Laidarum gentem traducentis. Is igitur an ludendo nomen etiam Lari perstrinxerit an patris appellatio sit mendosa, non licet affirmare. 14. Haec praegressis iuncta sic perscripsit *Eudocia* p. 301. *ἔγραψε περὶ τοῦ Ὄντος. ἦν ἐπὶ Ζήνωνος καὶ Περικλέους καὶ Σοφοκλέους. Καὶ ἦν* om. V. *τῶν* om. E. 15. *οὗτος ἔγρ.*] Haec nihil ad Melitum, verum ad Melissum pertinent. Pro *Μέλισσος* legitur *Μιλήσιος*, apud Georgium Syncellum p. 248. A. *Hemst.* Immo omnia post *Καὶ ἦν ἐπὶ τῶν Ζ.* spectant ad Melissum (vid. Diog. Laert. IX. 24. et Menag.), quod monuit etiam Clint. F. H. ad ann. 440. Itaque hunc locum, postquam narratio de Meleto sua sede deturbata est, mira invasit perturbatio, similis illa casibus glossam *Ἀριστώνυμος* adortis. 16. *ἀντεπολιτεύσατο*] *καὶ ἀντεπολιτεύσατο* A. B. V. E. Ceterum v. Sinten. in Plutarchi Pericl. 26.

Μέλει. Curae est. At *μέλλει*, cunctatur. Et *μέλλω*, debeo. *Μελείρηνες*. Pueri natu maiores. *Μέλη*. Corporis membra. *Μελῳδόν*. Membratim. *Μέλημα*. Cura. *Μέλης*. Meles, Homeri pater. *Μελλήσας*. Qui rem in aliud tempus differt, qui cunctatur. [At *μελήσας*,] qui studium adhibet. *Μελήσερμος*. Melesermus, Atheniensis, sophistes, scripsit Meretriciarum epistolarum libros XIV. Rusticarum, unum. Culinariarum epistolarum unum. Militarium, unum. Convivalium librum unum. *Μελησία*. Nomen proprium. *Ille vero Melesiam videt, visamque amat*. *Μέλλησις*. Dilatio. *Μελλησμός*. Tarditas. *Μελήσω*. Curabo, studium adhibebo. *Μελλητaί*. Cunctatores. *Μέλητος*. Tragicus subfrigidus. Aristophanes: *Scoliorum Meleti, et carminum ad Caricam libium*, hic est ille, qui Socratem accusavit. ab Comicis autem perstringitur ut poeta frigidus et malitioso ingenio praeditus. carmina vero Carica erant lugubria. *Μέλητος*. Meletus, Lari F. Atheniensis, orator. Hic Socratem accusavit cum Anyto: et tragoedias scripsit. idem lapidibus ab Atheniensibus obrutus est. — Vixit temporibus Zenonis Eleatae et Empedoclis. scripsit de essentia. in reipublicae ad-

φοκλῆν τὸν τραγικόν, ὀλυμπιάδι ὀγδοηκοστῇ τετάρτῃ.

Μέλητος, οὗτος ἐρᾷ νεανίου Ἀθήνησι τῶν εὖ γεγονότων καὶ πλουσίων μειρακίου καὶ ἐκείνου τὸ γένος διαπρεποῦς καὶ τὴν ὥραν ἀμύχου. καὶ τῷ μὲν ἐραστῇ Μέλητος ὄνομα ἦν, τῷ καλῷ δὲ Τιμαγόρας, ὥς φασιν. ἦν δὲ ἀτεγκτός τε καὶ ἀμείλικτος ὅδε ὁ παῖς, καὶ οἱ πολλὰ προσέταττε καὶ ἐπίπονα καὶ κινδύνων ἐχόμενα τῶν ἐσχάτων καὶ ὁμοῦ τῷ ὀλέθρῳ ἐλαύνοντα. καὶ ἦν τὰ πράγματα, κύνας τε ἀγαθὰς καὶ θηρατικὰς ἐκ τῆς ἀλλοδαπῆς ἄγειν, καὶ ἵππον αὖ τῶν πολεμίων ἀπαγαγεῖν ὅτου δὴ γενναῖόν τε καὶ θυμικόν· καὶ ἄλλου χλαμύδα ὡραίαν· καὶ τοιαῦτα ἕτερα. καὶ τελευτῶν ὄρνιθάς οἱ προσέταξε κομίσαι ὅτου δὴ τροφίμους· καὶ οἰκέτας γένος θαυμαστούς. ἐπεὶ δὲ καὶ τοῦτο κατεπράξατο ὁ ἔνθεος φίλος ἐκεῖνος, καὶ ἐδωρεῖτό γε τῷ καλῷ τὸ μέγα τίμιον κτῆμα, τοὺς προειρημένους· ὁ δὲ ἀτεράμων ὢν καὶ ἐς τοσοῦτον ἀπεώσατο ἄρα τὸ δῶρον. ὁ τοίνυν Μέλητος φλεγόμενος τῷ ἔρωτι καὶ οἰστρούμενος, καὶ ἐπὶ τούτοις ἀσχάλλων τῇ ἀτιμίᾳ, καὶ ἀπανθήσας ἐπὶ τοῖς ἀνηνύτοις τε μόχθοις ἅμα καὶ ἀπείροις, ἢ ποδῶν εἶχεν ἀνέθορέ τε ἐς τὴν ἀκρόπολιν καὶ ἑαυτὸν ἔωσε κατὰ τῶν πετρῶν. οὐ μὴν ἡ τιμωρὸς δίκη τὸν ὑβριστὴν παῖδα καὶ ὑπερόπτην εἴασεν ἐπεγχανεῖν τῷ τοῦ Μελήτου θανάτῳ. τοὺς ὄρνιθάς γ' οὖν ἀναλαβὼν καὶ ταῖς ἀγκάλαις ἐνθείς, εἶτα μέντοι κατ' ἴχνια τὰ ἐκείνου θέων, ὥσπερ οὖν ἑλκόμενος βίᾳ, ἑαυτὸν σὺν τῷ δυστυχεῖ χορῷ ἐπὶ τῷ Μελήτῳ ἔρριψε φέρων, βραδὺν καὶ δυστυχῆ τὸν ἔρωτα ἀντερασθεὶς τοῦτον. καὶ ἔστηκεν εἴδωλον τοῦ πάθους κατὰ τὸν τόπον, παὶς ὡραῖος καὶ γυμνός, ἀλεκτρυόνας δύο μάλα εὐγενεῖς φέρων ἐν ταῖς ἀγκάλαις, καὶ ὠθῶν ἐπὶ κεφαλὴν ἑαυτόν.

Μέλητοι καὶ Ἄνυτοι.

---

1. ὀγδοηκοστῇ τετάρτῃ] Accuratius si tradatur, Olymp. LXXXV, 1. 3. Μέλιτος. οὗτος ἐρᾷ νεαν.] Totus hic locus descriptus est ex Aeliano, ut discimus ex ipso Suida supra v. Διέραμνον, ubi particula huius Eclogae, addito scriptoris illius nomine, legitur. Sumpta autem haec sunt ex libro Aeliani de Providentia, hodie deperdito; ex quo et reliqua fere omnia Aeliani fragmenta, quae apud Suidam occurrunt, deprompta esse, alibi quoque lectorem monuimus. Conferendus est autem [Reinesio monente] cum hoc loco Pausanias in Atticis p. 58. qui eiusdem historiae mentionem faciens, Μέλητα adolescentem illum vocatum scribit, quem Aelianus in hoc fragmento Μέλιτον appellat. Küst. 4. μειράκιον δὲ ἦν τὸ γένος διαπρεπὲς — ἄμυχον] μειρακίου καὶ ἐκείνου (μειρακίου *V. μειράκιον omissis καὶ ἐκείνου B. V.) — διαπρεποῦς — ἀμύχου A. V. ἀμύχου etiam B. Gaisfordus ut opinor invitus neglexit τὸ γένος. Huic autem scripturae consequens est, ut in praegressis nominativus exiterit νεανίας, iam detortus ab lexici conditore, ut propius accederet narratio ad lemma Μέλητος. Adde quod subsequentia nullam arguunt Meleti significationem praecessisse, sed fere huius generis exordium, Ἐρᾷ τις νεανίας Ἀθήνησι τῶν . . . μειρακίου. Quod subiecit Aelianus ἐκείνου, id ad ingenium ut solet sermonis Latini conformavit. Infra ὥς φασιν om. V. 6. Μέλητος ὄνομα] Haec particula repetitur in v. Καλὸς κἀγαθός. 7. ἦν δὲ ἀτεγκτός τε καὶ ἀμ.] Locus hic legitur etiam supra v. Ἀτεγκτος. Küst. 10. τῷ] τὰ τῷ A. B. E. Med. καὶ ὁμοῦ — ἐλαύνοντα om. V. 11. θηρευτικὰς] θηρατικὸς A. θηρατικὰς practuli cum V. E. 12. ἵππον] ἱππῶν B. E pr. Tum ἀν' τῶν A. αὐτῶν V. ὅτου — θυμικόν om. V. qui mox χλαμύδας ὡραίας. Bastius malebat πολεμιστηρίων pro πολεμίων, allato Synes. p. 185. cui repugnat ὅτου δή. 14. De munusculis illis avium amatoriis dixerunt Brunckius in Aristt. Av. 707. et Burm. in Prop. p. 623. 15. οἰκέτας γένος θαυμαστούς] Velut Aethiopes, & Terentio celebratos, non illos de communi venalium grege, quos pertractavit Hemsterh. in Luc. Tim. 22. 17. ἐδωρεῖτο] καὶ ἐδωρεῖτο A. V. B. Itaque apodosis fit initium ab ὁ δέ. Tum γε om. V. B. καὶ ante τίμιον om. A. B. V. E. Malim etiam τὸ abesse.

1. ἀπεώσατο ἄρα] Fort. leg. ἀπεώσατο τὸ τοῦ ἐραστοῦ δῶρον. Valck. ἀπεωρήσατο V. Nihil mutandum, modo praegressis iungantur καὶ ἐς τοσοῦτον. 3. καὶ ἐπὶ — ἀτιμίᾳ om. V. ἀσχάλλων τῇ ἀτιμ.] Vide Nostrum supra v. Ἀσχάλλων. Küst. ἀσχάλλων A. 4. τε μόχθοις] τὲ om. V. et mox ἅμα καὶ ἀπείροις, retinet καὶ ἀπείροις *V. 5. ἀνέθορέν εἰς] ἀνέθορέ τε ἐς A. 7. οὐ μὴν — θανάτῳ] Repetuntur haec in v. Ἐπεγχανών, sed omisso παῖδα. 9. οὖν] γοῦν Gaisf. cum A. Vocem dirimi. καὶ ταῖς ἀγ. ἐνθεὶς om. V. 10. εἶτα] εἶτα μέντοι A. ἐκείνου] Μέλιτ^ο V. omissis et χορῶν ἐπὶ τῷ, et mox τοῦ — τόπον, et δύο — εὐγενεῖς. 12. χορῶν] χορῷ recte Kühnius fragm. Aelian. Hemst. Sic Gaisf., quod non intelligo; χοροῦν A. B. quod Portus coniectando erat assecutus. Mihi quidem etiamnum videtur mendum latitare. 13. ἀντερασθεὶς] ἀνταιρασθεὶς V. 16. καὶ om. *V. ἐπὶ κεφαλὴν ὠθῶν] ὠθῶν ἐπὶ κεφαλὴν A. 18. Μέλητοι] Sic A. Quae olim post Μελιτοῦται extabant, cum vulgari scriptura Μέλιτοι. Ignorat *V.

---

ministratione adversatus est Pericli: cumque Samiorum dux esset, navali proelio pugnavit cum Sophocle tragico, Olympiade LXXXIV. Μέλητος. Meletus. hic adolescens amavit Athenis iuvenem nobilem et divitem: qui cum genere illustri natus esset, tum etiam forma excellebat. et amatori quidem nomen erat Meletus; adolescenti vero formoso Timagoras, ut aiunt. erat autem puer ille durus et inexorabilis, et amatori suo multa iniungebat laboriosa, et cum extremis periculis coniuncta, et quae ad perniciem propemodum eum adducerent. in his erant ista, ut canes bonos et venaticos ex peregrinis terris adduceret, equumque generosum et ferocem ex hostico abduceret, et alterius chlamydem pulchram, et alia huiusmodi. tandem etiam imperavit ei, ut altiles avos, cuiuscunque illae essent, et servos genere singulares adduceret. cum autem haec etiam amicus ille numine amoris afflatus confecisset, remque magnopere pretiosam munera iam dicta illi formoso donasset: is, quippe inhumano ingenio ad hunc usque gradum praeditus, haec etiam dona superbe repudiavit. Meletus igitur amore flagrans et furore percitus, praeterea vero tantam ignominiam iniquo ferens animo, et defessus irritis simul et infinitis laboribus: celeritate pedum quanta maxima potuit in arcem ascendit, et se de rupibus deiecit. neque vero ultrix iustitia insolentem illum et superbum puerum Meleti morti passa est insultare. nam avibus acceptis et in ulnas impositis, illius vestigia sequens, quasi per vim traheretur, cum illo infelici choro progrediens, super Meletum se proiecit, sero et infausto hoc amore suum amatorem redamans. huius vero calamitatis simulacrum in illo loco positum est, puer formosus et nudus, duos gallos generosos in ulnis ferens, et in caput se praecipitans. Μέλη-

Μέλι. Τοῦτο γλυκὺ μέν ἐστι τὴν αἴσθησιν, πικρὸν δὲ τὴν ἀνάδοσιν. χολῆς γὰρ αὐτό φασι ποιητικὸν εἶναι, καὶ τρέπειν τοὺς χυμοὺς εἰς τοὐναντίον τῆς γεύσεως· ὃ δὴ καὶ μᾶλλον τῆς ἐκ φύσεως αὐτοῦ πικρότητος κατηγορεῖ τὴν γένεσιν.

Μελία. εἶδος δένδρου. Ἀριστοφάνης Ὄρνισιν· Ἰζόμενος μελίας ἐπὶ φυλλοκόμου.

Μελίβοιαν. τὴν Ὀλυζῶνα πόλιν.

Μελίδειον. κηρίον.

Μελίαι. βέλη, δόρατα. Μελίαι δ' ἦσαν αὐταῖς αἱ κερκίδες· φησὶν ὁ Θεολόγος Γρηγόριος. Καὶ ἐν Ἐπιγράμματι·

Οὕτω τοι μελία ταναὰ ποτὶ κίονα μακρὸν
ἧσο, πανομφαίῳ Ζηνὶ μένουσ' ἱερά.

Μελιηδής. ὁ γλυκύτατος. Καὶ Ὅμηρος· Μελιηδέα θυμὸν ἀπηύρα.

Μέλινη. εἶδος ὀσπρίου. Ἦν δὲ καὶ σῖτος ἀπὸ μελίνης. τοῦτο γὰρ ἦν ἐν τῇ χώρᾳ πλεῖστον. Καὶ αὖθις· Ἐφέροντο ἀδεῶς οἶνον, ὄσπρια, μελίνας, σῦκα. πάντα γὰρ ἀγαθὰ εἶχεν ἡ χώρα πλὴν ἐλαίου.

Μελίνη. Δημοσθένης ἐν Φιλιππικῷ. ὄσπριον ἐστίν· ὅπερ καὶ ἀρσενικῶς λέγεται. Σοφοκλῆς μὲν γὰρ καὶ Ἡρόδοτος καὶ Ξενοφῶν θηλυκῶς εἶπον μελίνην. Ξενοφῶν δὲ ὁ αὐτὸς ἐν Ἀναβάσει καὶ μέλινον καὶ μελίνους εἶπε. ἔνιοι δὲ εἶδός τι κεγχρίου νομίζουσι τὴν μελίνην, ὅπερ τινὰς καλεῖν ἔλυμον. Θεόφραστος δὲ ἐν ἑβδόμῳ περὶ Φυτῶν ὡς διαφέροντα ταῦτα ἀναγράφει, κέγχρον ἢ μελίνην ἢ ἔλυμον.

Μελίπηκτα. εἶδος πλακοῦντος.

Μελιπνόους. ἡδυπνόους.

Μελίῤῥυτον.

Μέλισσα. ὄνομα πόλεως. καὶ ζωύφιον, ὅπερ ἐργάζεται τὸ μέλι.

Μελισσείου. κηρίου.

Μελισμός. τῶν μελῶν ἡ διαίρεσις. ἐκ τοῦ μελίζω.

Μελισσοκόμος. ὁ τῶν μελισσῶν ἐπιμελούμενος.

Μέλισσος. ὄνομα κύριον.

Μελισσῶα.

Μελιστί. κατὰ μέλος.

Μέλιττα. ἡ μέλισσα.

---

1. *Μέλι. τοῦτο γλυκύ*] Verba Iuliani Ep. 24. 2. *δὲ ποιητικὸν αὐτό φασιν*] *γὰρ αὐτό φασι ποιητικὸν* A. quocum verba transposuit *V. 5. *πικρότητος*] *πικρότατον* B. *πικροτάτην* E. Edd. ante Küsterum. 6. *Ἀριστοφάνης Ὄρνισι*] V. 748. *Ὄρνισιν* om. *V. 7. *ἐζόμενος*] *ἰζόμενος* A. V. Ox. 8. *Μελίβοιον*] *Μελίβοιαν* reposui cum B. *V. Homerus cum Il. β'. 717. dixerit, *καὶ Μελίβοιαν ἔχον καὶ Ὀλιζῶνα τρηχείαν*, apparet haec sic fere componenda fuisse: *Μελίβοιαν καὶ Ὀλιζῶνα. πόλιν.* Quae subsequebantur, *Μελίβοιος. γεωργὸς ὁ τὸν Οἰδίποδα ἀναθρεψάμενος. καὶ ἔστιν ἐν τῷ Οἰδίποδι*: delevi cum A. *καὶ . . . Οἰδίποδι* om. V. Glossam ante v. *Μελία* posuit *V. 9. *Μελίδειον*] Immo *Μελίσσιον*. 12. *ἐν Ἐγιγράμματι*] Simonidis fr. XLVII. Anthol. Pal. VI, 52. Cf. vv. *Ἧσο* et *Ταναή*. 15. *Ὅμηρος*] Il. *κ'*. 495. 17. *Μέλινη*] Addit V. *εἶδος ὀσπρίου, ὅπερ τινὲς καλοῦσιν ἔλυμον.* Quae Gronovius ad posteriorem glossam refert. *Ἦν δὲ καὶ σῖτος ἀπὸ μελ.*] E Xenoph. lib. I. de Expedit. Cyri, [c. V, 10.] p. 256. ut Pearsonus observaverat. *Küst.* 19. *οἶον*] *οἶνον* A. E. *V. et Xenoph. Anab. VI, 4, 1. qui Porti coniecturam firmant. 22. *Μέλινη. Δημοσθ.*] Ex Harpocratione. *Φιλιππικοῖς*] *Φιλιππικῷ* A. *V. Photius, Harpocr. Pal. De Cherson. p. 100. extr.

2. *γὰρ*] *μὲν γὰρ* A. Phot. Harpocr. Pal. *θηλυκῶς*] *θηλυκὸν* V. *εἶπε*] *εἶπον* A. V. Phot. Harpocr. Pal. Tum *μελίνη* B. V. Phot. *μελλίνην* Harpocr. Pal. 3. *ὁ* neglexit Küst. *καὶ μελίνην*] *καὶ μέλινον* A. B. V. Phot. *καὶ μέλλινον καὶ μελλίνους* Harpocr. Pal. 4. *κέγρου* Phot. et Harpocr. 5. *τινές*] *τινὰς* A. Phot. Harpocr. Pal., hic etiam *θέλουσι* post *ἔλυμον* omittit. *ὅπερ — θέλουσι* om. V. omissis etiam *ἐν ἑβδόμῳ — ἀναγράφει*. Vid. Theophrast. H. Pl. VIII, 1, 1. coll. Schneid. Ind. p. 446. 9. *Μελίπηκτα*] Vid. Bergler. in Alciphr. I, 39. p. 253. 10. *Μελιπνόους*] Vid. *Ἀσταφίς. Hemst. Μελίπνους. ἡδύπνους* Photius. 11. *ἡδὺ πρώτιστον* interpretatio Hesychii. 14. *Μελισσείου κηροῦ* iungebat Ernestius Gloss. Suid. p. 170. sq., ut ad Lucae c. 24. v. 42. referenda. Confirmat Zon. p. 1348. 15. *Μελισμός*] Hoc profectum ab epimerismorum tabulis: v. Herodian. pp. 81. 180. 264. coll. Zon. p. 1344. 17. *Μελισσοκόμοι. οἱ — ἐπιμελούμενοι*] *Μελισσοκόμος. ὁ ἐπιμελούμενος* A. V. E. 19. *Μέλισσος*] *Μέλιττος* A. V. Cum his sub finem delevi, *ἐστιν ἐν τῷ Γεννητικῇ*. Huc autem referenda particula v. *Μέλητος Λάρου*. 20. *Μελισσῶσα*] *Μελισσῶα* A. B. V. E. Id detortum videtur ex *Μελισσάων*. 22. *Μέλιττα*] Post h. gl. *Μελιτενές* omiserunt A. V. (silet Gron.) *Μελιτεύς* E.

τοι. Meleti et Anyti. *Μέλι.* Mel. *Hoc dulce quidem est gustatu, sed ructus gignit amaros; diciturque procreare bilem, et humores convertere in saporem dulcedini contrarium: quod magis etiam arguit, id natura causam amaritudinis esse.* *Μελία.* Genus arboris. Aristophanes *Avibus*: *Sedens in fraxino frondosa.* *Μελίβοιαν. Meliboeam et Olyzona.* civitatium nomina. *Μελίδειον.* Favus. *Μελίαι.* Tela, hastae. Gregorius Theologus: *Ipsis autem pectines textorii pro hastis erant.* Et in Epigrammate: *Sic hasta longa ad columnam longam suspensa esto, Panomphaeo Iovi sacra manens.* *Μελιηδής.* Dulcissimus. Homerus: *Dulcissimam animam abstulit.* *Μέλινη.* Genus leguminis. *Panico etiam cibi loco utebantur. eo enim regio illa abundabat.* Et iterum: *Secure auferebat vinum, legumina, panicum, ficus. regio enim illa omnia habebat bona praeter oleum.* *Μέλινη.* Demosthenes in Philippicis. est legumen, et masculino etiam genere effertur. Sophocles enim, Herodotus, Xenophon feminino genere dixerunt. idem tamen Xenophon in *Anabasi* et *μέλινον* et *μελίνους* dixit. quidam *μελίνην* genus milii esse putant: quod nonnulli etiam *ἔλυμον* vocant. sed Theophrastus lib. VII. *de Plantis* ea ut diversa recenset: *Milium vel paniсum vel elymum.* *Μελίπηκτα.* Placentae ex melle confectae. *Μελιπνόους.* Suaviter spirantes. *Μελίῤῥυτον.* *Μέλισσα.* Nomen urbis. et animaculum, quod facit mel. *Μελισσείου.* Alvearis. *Μελισμός.* Membrorum divisio. ab verbo *μελίζω*. *Μελισσοκόμος.* Qui apes curat. *Μέλισσος.* Nomen proprium. *Μελισσῶα.* *Μελιστί.* Membratim. *Μέλιττα.* Pro *μέλισσα.*

Μελιταῖον κυνίδιον. Τῶν γὰρ κυνῶν οἱ μὲν ἰχνευταί· οἱ δὲ ὁμόσε τοῖς θηρίοις χωροῦσιν· οἱ δὲ ἐπὶ φυλακῇ τῶν κτημάτων οἰκουροί· οἱ δὲ ἐπὶ τέρψει, ὡς τὰ Μελιταῖα κυνίδια.

Μελιταιεύς.

Μελίτη. Δημοσθένης ἐν τῷ κατὰ Κόνωνος. δῆμός ἐστι τῆς Κεκροπίδος, ὀνομασθεὶς ἀπὸ Μελίτης [1] κατὰ μὲν Ἡσίοδον θυγατρὸς Μύρμηκος, κατὰ δὲ Μουσαῖον Δίου τοῦ Ἀπόλλωνος.

Μελιτηνή. ὄνομα πόλεως.

Μελιτιανός.

Μελιττοπηχεῖν. τὸ κρούοντας ψύφον ποιεῖν, ἵνα μὴ αἱ μέλισσαι προσπέτωνται.

Μέλιτος μυελός. ἐπὶ τῶν ἄγαν ἡδέων.

Μελιτοῦττα. μᾶζα μέλιτι δεδευμένη· ἣν ἔφερον, ὡς ἐδόκουν, τοῖς ὄφεσι τοῖς ἐς Τροφωνίου μαντευομένοις. ἐν Λεβαδείᾳ ἐστίν. — Ὅτι ἡ μελιτοῦττα ἐπίθετον τῶν ναστῶν. — Ἰστέον ὅτι ἡ μελιτοῦττα ἐδίδοτο τοῖς νεκροῖς, ὡς εἰς τὸν Κέρβερον· καὶ ὀβολὸς μισθὸς τῷ πορθμεῖ· καὶ στέφανος, ὡς τὸν βίον διηγωνισμένοις.

Μελιτωδῶν ἐδεσμάτων.

Μελίτωνος.

Μελιτρός.

Μελίφρων. ἡδύς, γλυκαίνων τὰς φρένας.

Μελίχλωρος. ὁ χλωρός.

Μελόμενοι. Καὶ ἐπίστευον εἶναι θεοφιλεῖς, τῷ δαίμονι τούτῳ μελόμενοι.

Μέλον. διὰ φροντίδος ὄν. Ἀριστοφάνης·

Οὐδὲν ἄρ' ἐμοῦ μέλον, ὅσον δὲ μόνον εἰδέναι
σκωμμάτιον, εἴποτέ τι θλιβόμενος ἐκβάλω.

---

1. *Μελιταῖον κυνίδιον*] De quo multa collegit Boissonad. in Herodian. p. 82. *Τῶν γὰρ κυνῶν οἱ μὲν ἰχν.*] Artemidorus lib. II. c. 11. *Τῶν κυνῶν οἱ μὲν ἐπὶ θήραν τρέφονται· καὶ τούτων οἱ μέν εἰσιν ἰχνευταί· οἱ δὲ ὁμόσε τοῖς θηρίοις χωροῦσιν· οἱ δὲ ἐπὶ φυλακῇ τῶν κτημάτων, οὓς οἰκουρούς· καὶ δεσπότους λέγομεν· οἵ τε ἐπὶ τερπωλῇ, καὶ οἱ* [leg. *οἱ καὶ*] *Μελιταῖοι λεγόμενοι.* Hinc Suidas sua descripsit. *Küst.* 2. *ἰχνευτικοί*] *ἰχνευταί* A. cum Arsenio p. 351. 4. *Μελιταία*] *Μελιτταία* V. Sub finem cum A. sustuli: *Καὶ Μελιτηροὶ κύνες· οἱ ἐπὶ τέρψει τρεφόμενοι.* Ubi *Μελιτηνοὶ* Holsten. in Steph. Byz. p. 203. „*Μελιτήσιοι* I. Vlit. in Gratii Cyneg. v. 405. Adducit Suidae locum Petavius in Themist. XXI. p. 503. [p. 520.]" *Hemst.* 5. *Μελιταιεύς*] Sic A. V. sed alieno loco. *Μελιτεεύς* B. Vid. Steph. Byz. in *Μελιταία.* 6. *Μελίτη. Δημοσθένης ἐν τῷ κατὰ K.*] Ex Harpocratione. Confer etiam Schol. Aristoph. Ran. 504. *Küst.* Domum in *Melite* habuit Epicurus, quam Hermacho et qui cum eo philosophentur dat inhabitandam testamento, Laert. X, 10. *Reines.* Schol. Platon. Parmenid. init. in MS. Paris. ap. Gaisf. *Μελίτη δῆμος Κεκροπίδος· ἔσχεν δὲ ὄνομα τοιοῦτον ἀπὸ Μελίτης τῆς τῷ Ποσειδῶνι φίλης, ὅθεν Μελίτην δὴ Ποσειδωῶνος ἑταίρην φησί τις ποιητής. κατὰ Κόνωνος*] P. 1258. extr. 7. *δέ ἐστι*] *δέ* om. A. 8. *ἣ κατὰ — θυγατὴρ ἦν* | *κατὰ — θυγατρὸς* A. V. Photius et Harp. 10. *Μελιτηνή*] V. Reimarus in Dion. LXXI, 9. Sub finem cum A. delevi: *Καὶ Μελιτηνός, ὁ πολίτης.* Contra *V. *Μελιτηνός. ὁ πολίτης* post gl. *Μέλιτος* servavit. *Μελιτηνός. τοπικὸν* Zon. p. 1340. 11. *Μελιτιανός*] Delevit Gaisf. cum A. *Βουταλίων καὶ Κόροιβος, καὶ Μελιτίδης ἐπὶ μωρίᾳ διεβέβληντο. Ἀριστοφάνης. ἔστιν ἐν τῷ Γηλοῖος*, quae male repetebantur ex v. *Βουταλίων*, *V. praefixo *ὅτι* ante gl. *Μελιτοῦττα* posuit. 12. *Μελιττοπηχεῖν*] Et vox ista et interpretatio eius mihi suspecta est: de qua proinde amplius cogitandum censeo. Confer interim Hesych. v. *Μελιτοπολεῖν. Küst.* *Μελιττοχεῖν* E. *Μελιτοποιχεῖν* Photii MS. ubi editum *Μελιττοπηχεῖν*, quod in Suida reponit post Wolfium Hemsterhusius, quasi formatum a *πήσσω, ἔπηχα.* Vossius autem in Hesychium *μελιττεπηχεῖν* vel *μελιττωπηχεῖν.* Interim probabimus Hesychianum *μελιττοπολεῖν.* 13. *προσπέτωνται*] *προσάπτωνται* Photii MS. ubi editum *πρόσπτωνται.* Portus *ἀποπέτωνται.* Praestat *μὴ* deleri. 14. Arsenius p. 351. 15. *Μελιττοῦττα* *V. bis. *μᾶζα μέλιτι — τοῖς ὄφεσι* | Ex Schol. Aristoph. Nub. 507. Scripsi *μᾶζα.* 16. *ἐν Τροφωνίου*] *ἐς Τροφωνίου* A. B. E. *V.

1. *μαντευομένοις*] *οἱ μαντεύομενοι* E. Schol. Aristoph. Rav. *Ἐν Λεβαδείᾳ ἱερόν ἐστι Τροφωνίου, ὅπου ὄφις ἦν ὁ μαντευόμενος, ᾧ οἱ κατοικοῦντες πλακοῦντας ἔβαλλον μέλιτι δεδευμένους. Λεβαδείᾳ*] *Λεβαδείᾳ* A. *Ἡ μελιττοῦττα ἐπίθετον τῶν ναστῶν*] Respexit Suidas ad locum illum Aristophanis Av. 568. *Ἦν δ' Ἡρακλεῖ τις βοῦν, λάρῳ ναστοὺς θύειν μελιτούττας.* Vide ibi Scholiastam. *Küst.* *Ὅτι Gaisf. cum *V. *ναστῶν* *V. 2. *Ἰστέον ὅτι μελιτοῦττα*] Schol. Aristoph. Lysist. 601. *Hemst.* *ἡ* Gaisf. cum *V. qui *μελιτοῦσα.* 3. *ἐδίδοτο τοῖς νεκροῖς*] Vid. supra *Δανάκη* et *Καρχάδοντα* (sic). *Reines.* Conf. Hemsterhus. in Luciani Dial. Mort. XXI, 2. p. 422. 5. *διηγωνισμένοις*] *διηγωνισμένος* A. B. E. 6. *Μελιτωδῶν*] *Μελιτωδῶν* B. Edd. ante Küst. Is neglexit *Μελίτωνος* et *Μελιτρός.* 13. *Ἀριστοφάνης· Οὐδὲν ἄρ' — ἐκβάλω. Ὅτι δὴ — δόξης*] Prius fragmentum extat apud Aristoph. in Vespis v. 1279. (1328. sq.) ubi male legitur *ἐκβάλλω*, ex Suida corrigendum. Quod et recte animadvertit Florens Christianus. In posteriori autem scribendum, *καὶ τῇ περὶ ταῦτα γάννυσθαι δόξῃ.* Quomodo legitur apud Agathiam lib. II. (28.) p. 67. unde hunc locum decerpsit Suidas. De Chosroe autem Persarum rege hic sermo est, qui litteras amabat scilicet, atque earum existimatione valde delectabatur. *Toup.* *τῇ — δόξῃ* correxerat Portus, a Suida firmatum v. *Χοσρόης.* 16. *ἐκβάλλω* Ox. Repetuntur haec in v. *Σκωμμάτιον.*

Μελιταῖον κυνίδιον. Canum enim alii sunt sagaces; alii cum feris congrediuntur; alii ad rerum domesticarum custodiam adhibentur; alii denique voluptatis causa domi nutriuntur, velut catelli Melitaei. *Μελιταιεύς. Μελίτη.* Demosthenes in oratione contra Cononem. est pagus tribus Cecropiae, cuius nomen ab Melite ductum, quam Hesiodus filiam Myrmecis, Musaeus vero Dii, filii Apollinis, fuisse tradit. *Μελιτηνή.* Nomen urbis. *Μελιτιανός. Μελιττοπηχεῖν.* Pulsu strepitum edere, ne apes advolent. *Μέλιτος μυελός.* Mellis medulla, de rebus valde suavibus. *Μελιτοῦττα.* Placenta mellita: quae afferebatur serpentibus, qui in antro Trophonii consulentibus responsa reddere credebantur. [Antrum autem illud] in Lebadia erat. † *Μελιτοῦττα* [apud Aristophanem in *Avibus*] est epithetum *τῶν ναστῶν.* † Sciendum est, placentam mellitam mortuis dari solitam ad placandum Cerberum; et obolum, naulum portitori; et coronam, ut vitae certamine defunctis. *Μελιτωδῶν ἐδεσμάτων. Μελίτωνος. Μελιτρός. Μελίφρων.* Suavis, animos demulcens. *Μελίχλωρος.* Mellis instar flavus. *Μελόμενοι. Et credebant se deo caros esse, quod huic daemoni curae essent.* *Μέλον.* Quod curae est alicui. Aristophanes: *Cum nihil me curarent, nisi tantum, ut dicterium resciscerent,*

Ὅτι δὴ βασιλεὺς ὢν καὶ Πέρσης, ἐθνῶν τε τοσούτων καὶ πράξεων μέλον αὐτῷ, ὁ δὲ ἐφίετο γοῦν ὅμως ἀμηγέπη ἀπογεύεσθαι λόγων, καὶ τῆς περὶ ταῦτα γάννυσθαι δόξης.

Μελλονικιᾶν. τὸ βραδύνειν καὶ ἀναβάλλεσθαι. Ἀριστοφάνης·

Οὐδὲ νυστάζειν . . .
ὥρα ἐστὶν ἡμῖν, οὐδὲ μελλονικιᾶν.

Νικίας γὰρ υἱὸς Νικηράτου, ὃς ἀνεβάλετο ἀπελθεῖν εἰς Σικελίαν. βραδὺς γὰρ ἦν περὶ τὰς ἐξόδους, καὶ ὡς οἱ διαβάλλοντες, οὐ προνοητικός, ἀλλὰ μελλητής.

[Ἀλλ' ὡς τάχιστα δεῖ τι δρᾶν.]

Μελόντων. ἐπιμελείσθωσαν.

Μέλος τι μελλοδειπνικόν. Ἀριστοφάνης·

Ὑπανακίνει Κρητικῶς τὼ πόδε.
. . . . τάχα γὰρ ἔπεισι
λοπαδοτεμαχοσελαχογαλεοκράϊ.

Μέλου. ἐπιμελοῦ.

Καὶ τὰ λοιπά μου
μέλου δικαίως, ὥσπερ ἐς τόδ' ἡμέρας.

Μέλλω. ἐπὶ τοῦ βραδύνω. καὶ ἐπὶ τοῦ ἐσομένου χρόνου, παρὰ Θουκυδίδῃ. καὶ Σοφοκλῆς· 528

Μέλλων γὰρ ἀεὶ δρᾶν τι τὰς οὔσας τέ μου
καὶ τὰς ἀπούσας ἐλπίδας διέφθορα.

Καὶ Ἀριστοφάνης·

Μὴ δῆθ' ἱκετεύω, πλὴν ὅταν μέλλω ἐξεμεῖν. τουτέστιν, εἰ ὅλως λέγεις, τότε εἰπέ, ὅτε μέλλω ἐξεμεῖν· ἵν' ἅπαξ ἐμέσω, καὶ μὴ τότε, καὶ ὅτε λέγεις. ἢ οὕτω· τότε, φησί, λέγε, ἐὰν θέλῃς, ἐπιτηρήσας ὅτε μέλλω ἐξεμεῖν· ῥᾷστα γὰρ ἂν μᾶλλον ἐξεμέσαιμι, ἐὰν εἴπῃς.

Μέλω. ἐν ἐπιμελείᾳ εἰμί.

Μέλπηθρα. παίγνια, σπαράγματα.

Μέλποντες. ᾄδοντες, ἀνυμνοῦντες.

Μελύδριον Ἰωνικόν. ἀντὶ τοῦ τρυφηλόν· τοιοῦτοι γὰρ Ἴωνες. Ἀριστοφάνης·

Λεῦρ' ἴτ' ἐπὶ τοὐμὸν στόμα
μελύδριον εὑροῦσαί τι τῶν Ἰωνικῶν.

Μελχισεδέκ, ἱερεὺς τοῦ Θεοῦ, καὶ βασιλεὺς τῶν Χαναναίων. οὗτος κτίσας πόλιν ἐν τῷ ὄρει τῷ λεγομένῳ Σιὼν ἐπωνόμασεν αὐτὴν Σαλήμ· ὅ ἐστιν εἰρήνης πόλις· ἐν ᾗ βασιλεύσας ἔτη ριγ' ἐτελεύτησε

---

1. *τε τοσούτων*] τε om. E. Tum *τοσοῦτον* B. 3. *λόγων* om. V. qui mox *γῆς*. Tum *γάνυσθαι* A. 6. Ἀριστοφάνης] Av. 643. sq. *Καὶ μὴν μὰ τὸν Δί' οὐχὶ νυστάζειν γ' ἔτι Ὥρα ἐστὶν ἡμῖν, οὐδὲ μελλονικιᾶν. Ἀλλ' ὡς τάχιστα δεῖ τι δρᾶν.* 8. ἄρ'] ὦρ' A. V. Scripsimus ὥρα, ne quis offenderet in crasi ὡραστίν. 9. *Νικίας — Σικελίαν*] Abest hoc membrum ab Scholiis nostris. *Νικηράτου*] Ἀλκιβιάδ A. B. V. E. *ἀνεβάλλετο*] *ἀνεβίβλετο* dedi cum A. 11. *καὶ ὡς οἱ* cum seqq. om. V. Saltem novissima cancellis sepsi. Mox *ἀλλ' ἀμελητής* Gaisf. cum A. B. E. Schol. *ἀλλὰ μελητής* Med. *ἀλλὰ μελλητής* Küsterus, recte. Accedit Hesychius, cui apparet *ἐπεὶ βραδὺς* pro *ἐπίβραδυς* reddi oportere. 14. *Μελόντων*] Il. σ'. 463. et alibi. Male A. *μελλόντων* cum Photio. Glossam hanc et continuam v. *Μέλω* postposuit *V. 15. *Μέλλος* Ox. Ἀριστοφάνης] Eccles. circa finem (v. 1188.); ubi sic legitur: *Ἐπάσομαι μέλος τι μελοδειπνικόν.* Sed metrum versus huius claudicare recte vidit Portus, qui proinde *μελλοδειπνικόν* legendum esse existimabat: quam coniecturam non puto esse spernendam. Iocatur enim Comicus, et canticum ob futuram coenam cantandum esse dicit: cum moris sit, ut coenantibus, non vero coenaturis, cantica accinantur. Küst. *μελλοδειπνικόν* A. V. 17. *Ὑπανακίνει Κρητικῶ τὼ π.*] Haec et quae sequuntur nihil ad rem faciunt, eademque emendanda et supplenda sunt ex Aristophane. Küst. *Κρητικῶ* Gaisf. cum A. mox repetunt A. *V. Ἀριστοφάνης post *πόδε*. Debebat ille *Κρητικῶς* ex v. *Κρητικός* asciscere. 21. *Καὶ τὰ λοιπά μου μ.*] Sophocl. Oed. Colon. 1137, 38.

1. *ἐπὶ τοῦ βραδύνω*] Schol. Thucyd. I, 86. a Gaisf. ascriptus: *τὸ γὰρ μέλλουσιν νῦν οὐχὶ ἐπὶ τοῦ βραδύνουσι λεκτέον, ἀλλ' ἐπὶ τοῦ ἐσομένου χρόνου.* 2. *Σοφοκλῆς*] Electr. 305. sq. 3. *αἰεὶ* vulg. Mox *διέφθειρα* A. V. *διέφθορε* E. recte. 5. *Ἀριστοφάνης*] Initio Ranarum: in quem locum vide Scholiastam, cuius scrinia Suidas hic compilavit. Küst. Cf. v. *ἐξεμεῖν*. Seqq. om. V. Ox. Mox *μέλλω γ' ἐξεμεῖν* Med. *μέλλω ἐξεμεῖν* edd. vulgg. 7. *τουτέστιν — ἐξεμεῖν* accedunt ex A. Scholiis Aristoph. firmata. 8. *μὴ τότε καὶ ὅτε*] *μὴ καὶ τότε καὶ ὃ λέγεις* A. Itaque legendum: *καὶ μὴ ὅτε καὶ λέγεις*. 10. *μᾶλλον*] *ἂν μᾶλλον* A. Probavimus, oblatum etiam glossa priore. Post *εἴπῃς* idem A. omisit: *Μέλω δὲ τὸ φροντίζω, δι' ἑνὸς λ, δοτικῇ.* Sed in marg. exhibet, *Μέλλω τὸ βραδύνω, διὰ β λλ. μέλω δὲ τὸ φροντίζω δι' ἑνός, δοτικῇ.* 13. *Μέλπηθρα*] Il. ν'. 233. *σπουδάσματα* subiecit Lex. Bachm. p. 297. 16. *Ἀριστοφάνης*] Eccles. 910. sq. (877.) 17. *ἴτ'*] *εἴτ'* A. Mox *στέμμα* A. B. V. E. Med. 19. Narratio de Melchisedec refertur ad Ep. Hebr. VII, 1. *βασιλεὺς*] *καὶ βασιλεὺς* A. B. *ὁ βασιλεὺς* *V. 22. *εἰρηνόπολις*] *εἰρήνης πόλις* A. V.

---

si forte pressus aliquod eiecissem. † *Cum et rex esset, et tot gentium rerumque curam gereret, tamen et litteras degustare, earumque gloria illustrari cupiebat.* *Μελλονικιᾶν.* Cunctari et negotium aliquod procrastinare. Aristophanes: *Haud sane nobis dormitandum est amplius, neque cunctandum Niciae more.* Nicias enim, filius Nicerati, expeditionem in Siciliam de die in diem differebat, utpote tardus in expeditionibus suscipiendis, neque providus, sed cunctator, ut obtrectatores aiebant. *Μελόντων.* Curent. *Μέλος τι μελλοδειπνικόν.* Carmen, quod inter coenandum canitur. Aristophanes. *Μέλου.* Cura. *Et reliqua mea negotia cura recte, ut ad hunc usque diem fecisti.* *Μέλλω.* Cunctor. dicitur etiam de tempore futuro apud Thucydidem. et Sophocles: *Cunctans enim semper aliquid facere, et praesentes meas ob absentes spes perdidi.* Et Aristophanes: *Ne, quaeso, id dicas, nisi cum vomendum mihi est.* id est, si quidem dicis, tum demum dicas, cum vomiturus sim. ut semel, inquit, vomam: non vero et tunc, cum id dices. vel sic: tunc, inquit, dic, si velis, observato tempore, quo vomiturus sum. facillime enim vomuero, si id dixeris. *Μέλω.* Curae sum. *Μέλπηθρα.* Ludibria, praeda quae laceratur. *Μέλποντες.* Canentes, celebrantes. *Μελύδριον Ἰωνικόν.* Cantiuncula delicata. tales enim erant Iones. Aristophanes: *Huc ad os meum venite, postquam cantiunculam aliquam Ionicam inveneritis.* *Μελχισεδέκ.* Melchisedec, sacerdos dei, rex Chananaeorum. is urbem in monte, qui vocatur Sion, condidit,

δίκαιος καὶ παρθένος. ἀγενεαλόγητος δὲ εἴρηται, παρὰ τὸ μὴ ὑπάρχειν ἐκ τοῦ σπέρματος Ἀβραὰμ ὅλως, μηδὲ γενεαλογεῖσθαι τὸ παράπαν, εἶναι δὲ Χαναναῖον τὸ γένος καὶ ἐκ τῆς ἐπαράτου σπορᾶς ὁρμώμενον· ὅθεν οὐδὲ γενεαλογίας ἠξίωτο. οὐ γὰρ πρεπωδέστατον ἦν, τὸν τῆς ἄκρας δικαιοσύνης ἐπειλημμένον συμπλέκειν τῷ τῆς ἄκρας ἀδικίας γένει· διὸ καὶ ἀπάτορα καὶ ἀμήτορα τοῦτον εἶναί φασιν. ὅτι δὲ Χαναναῖος ἦν τὸ γένος, εὔδηλον καὶ ἀφ' ὧν ἐκράτει καὶ ἐβασίλευε κλιμάτων Χαναναίων, καὶ οἷς ἐπλησίαζε πονηροτάτοις Σοδόμοις. καὶ μέντοι καὶ ἡ Σαλήμ, ἧς ὑπῆρχε βασιλεύς, ἡ πολυθρύλλητος Ἱερουσαλήμ ἐστιν, οὐδέπω τὸ ὅλον ὄνομα φέρουσα τῆς Ἱερουσαλήμ· ἐκ προσθήκης δὲ τῆς ἱεροῦ μετὰ τὴν Σαλὴμ προσλαμβάνουσα συλλαβήν, καὶ κατὰ συνάφειαν Ἱερουσαλὴμ ὀνομασθεῖσα. διὰ δὲ τὸ ἀγενεαλόγητον λέγεται ἀπάτωρ καὶ ἀμήτωρ. ὅταν δὲ ἀκούσῃς παρὰ τῶν Μελχισεδεκιτῶν, ὅτι θεὸς ὀνομάζεται, μνήσθητι τοῦ Ἀποστολικοῦ, ὅτι ἑτέρας γενεᾶς ἐστι. τουτέστι, τῶν Χαναναίων.

Μελχισεδέκ, ἱερεύς, οὐκ Ἰουδαίων μόνον, ἀλλὰ καὶ ἐθνῶν. οὕτω καὶ ὁ Χριστὸς οὐχ ὑπὲρ Ἰουδαίων μόνον, ἀλλὰ καὶ ὑπὲρ πάντων ἀνθρώπων ἑαυτὸν προσενήνοχε τῷ Θεῷ. ἄρχεται δὲ τῆς ἱερωσύνης ἐν τῇ νυκτί, μεθ' ἣν τὸ πάθος ὑπέμεινεν, ἡνίκα λαβὼν ἄρτον καὶ εὐχαριστήσας ἔκλασε, καὶ εἶπε· Λάβετε, φάγετε, καὶ τὰ ἑξῆς. οὗτος ὁ Μελχισεδὲκ ἐπὶ Ἀβραὰμ ἤκμαζεν, ἀνὴρ θεοσεβής, ἐθνικός, καταγόμενος ἐκ τοῦ γένους Σίδου, υἱοῦ Αἰγύπτου, βασιλέως τῆς Λιβύης. ὅστις γινόμενος ἱερεὺς καὶ βασιλεὺς τῶν Χαναναίων ἔκτισε πόλιν ἐν τῷ ὄρει τῷ λεγομένῳ Σιών, καὶ ἐκάλεσεν αὐτὴν Ἱερουσαλήμ, ὅπερ ἐστὶν εἰρήνης πόλις· καὶ ἐβασίλευσεν ἐν αὐτῇ ἔτη ριγ'.

Μελχισεδέκ. οὗτος βασιλεὺς ὢν τῶν Χαναναίων καὶ ἱερεὺς τοῦ ὑψίστου Θεοῦ, ὑποστρέφοντι τῷ Ἀβραὰμ ἐκ τοῦ πολέμου ἀπαντήσας, ἐξήγαγεν αὐτῷ ἄρτους καὶ οἶνον, καὶ εἶπε πρὸς Ἀβραάμ· Εὐλογημένος Ἀβραὰμ τῷ Θεῷ τῷ ὑψίστῳ, ὃς ἔκτισε τὸν οὐρανὸν καὶ τὴν γῆν· καὶ εὐλογημένος ὁ Θεὸς ὁ ὕψιστος, ὃς παρέδωκε τοὺς ἐχθρούς σου ὑποχειρίους σοι. καὶ ἔδωκεν αὐτῷ Ἀβραὰμ δεκάτην ἀπὸ πάντων. ἑρμηνεύεται δὲ Μελχισεδὲκ βασιλεὺς εἰρήνης.

Μελχὸμ προσοχθίσματι. εἴδωλον καὶ τοῦτο. προσοχθίσματα γὰρ καὶ βδελύγματα τὰ εἴδωλα προσαγορεύειν εἴωθεν ἡ Γραφή· ὅπερ δηλοῖ τὸ μύσος καὶ ἀπόβλητον.

---

1. *παρθένος*] Vide v. *Ἄβελ*. 3. *ὅλως*] *μὴ δὲ γενεαλογεῖσθαι τὸ παράπαν* addidit A. 5. *ὁρμώμενον*] *ὁρμώμενος* A. B. E. 8. Cf. v. *Ἀβραάμ* et quae Iacobs. in Anthol. Pal. p. 17. collegit. 10. *ἐβασίλευσε*] *ἐβασίλευε* A. omisso *τῶν* cum B. *V. quod delevimus ante *Χαναναίων*. 15. *μετὰ*] *Σαλὴμ* V. sequente lacuna. 18. *ὅταν δὲ ἀκούσῃς παρὰ τῶν Μελχισεδ. ὅτι Θεὸς ὀνομάζεται*] Sic locum hunc ex MSS. Pariss. emendavi, qui in prioribus editt. minus recte sic legitur: *ὅταν δὲ ἀκούσῃς περὶ* [sic B. E.] *τῶν Μελχισεδεκιτῶν, ὅτι ἔθνος ὀνομάζεται. Küst.* 21. *μόνον*] *μόνων* B. E. *V. item v. 23. *μόνων* *V.

5. *καταγόμενος — Χαναναίων* om. *V. qui haec sub finem post ριγ' reiecit. *υἱοῦ Αἰγύπτου*] Sic habent MSS. Pariss. [*V.] itemque Cedrenus, qui cum Suida conferendus est. At priores editt. [et E.] male *Αἰγυπτίων*. *Küst.* 6. *γενόμενος*] *γινόμενος* A. *ὃς ἐγένετο* *V. 11. Vide Genesis c. 14. 13. *ἀπὸ*] *ἐκ τοῦ* A. V. 19. *βασιλεὺς εἰρήνης*] Immo *βασιλεὺς δικαιοσύνης* [cum Zon. p. 1342.]: ut ignorare non possunt, qui vel primis, ut aiunt, labris linguam Hebraicam degustarunt. *Küst.* Idem error Etym. M. p. 578. 21. *Μελχόμ. προσόχθισμά τι*] Recte Ernestus [Gloss. Suid. p. 89.] *Μελχὸμ προσοχθίσματι*. Vid. Theodoret. Regg. III. *Ἔρωτ.* 37. *Gaisf.* 22. *προσοχθίσματα*] Vid. infra in v. Sumpta sunt ex Theodoreto in Regg. IV. *Ἔρωτ.* 3. *Gaisf.* 24. *τὸ μῖσος*] Rectius *μύσος*: quod et Porto visum est. *Küst.* *μῖσος* tenet Theodoretus: *μύσος* probavi cum E m. sec. Vide supra v. *Βδελύττεσθαι*. Ceterum cf. Boissonadi Anecd. T. V. p. 153.

---

eamque Salem nominavit: quod idem est atque urbs pacis. In hac cum regnasset annos CXIII. obiit iustus et coelebs. ideo vero dictus est expers genealogiae, quod prorsus non fuit ex Abraham semine, sed ex genere Chananaeo et ex detestando semine ortus. quamobrem etiam genealogiae honore caret. neque enim decebat eum, qui summae iustitiae compos esset, coniungi cum summae iniustitiae genere. quamobrem hunc et patre et matre carere dicunt. genere autem Chananaeum fuisse valde perspicuum est vel ex regione, cuius erat dominus, et ex climate Chananaeo, cuius fuit rex, et ex improbissimis Sodomis, qtibus erat vicinus. Salem autem, cuius erat rex, est illa celeberrima Hierosolyma, quae nondum integrum nomen urbis *Hierusalem* ferebat; sed addita voce *ἱεροῦ* ad *Σαλὴμ* et facta compositione Hierusalem vocata est. quod autem eius genealogia nulla describitur, ideo patre et matre carere dicitur. cum autem ab Melchisedecitis eum Deum appellari audieris, memento dicti Apostolici, eum esse generis alterius, Chananaeorum scilicet. *Μελχισεδέκ*. Melchisedec, sacerdos non solum Iudaeorum, sed etiam gentium. sic etiam Christus non solum pro Iudaeis, sed etiam pro omnibus hominibus se obtulit Deo. auspicatur autem sacerdotium ea nocte, post quam crucis supplicium sustinuit; cum accepto pane et gratiis actis cum fregit, et dixit: *Accipite, edite*, et quae sequuntur. hic Melchisedec Abrahami tempore floruit; vir Deum colens, ethnicus, genus ducens a Side, filio Aegypti, regis Libyae. qui cum esset sacerdos et rex Chananaeorum, urbem condidit in eo monte, qui Sion vocatur, eamque nominavit Hierusalem (quod est, Pacis urbs), et in ea regnavit annos CXIII. *Μελχισεδέκ*. Hic cum esset Chananaeorum rex et sacerdos summi Dei, Abraham a bello revertenti occurrit et panes vinumque obtulit, et ad Abraham dixit: *Benedictus Abraham Deo summo, qui condidit coelum et terram; et benedictus Deus altissimus, qui hostes tuos in manum tibi tradidit.* Abraham vero decimas omnium illi dedit. Melchisedec vero, si vocem interpreteris, significat regem pacis. *Μελχόμ*. Hoc quoque fuit idolum. Nam S. Scriptura idola vocare solet *προσοχθίσματα* et *βδελύγματα*: i. e. res impuras et abominandas.

Μεμαγμένη μᾶζα. ἐπὶ τῶν ἑτοίμων ἀγαθῶν.

Μεμαγμένην. παρεσκευασμένην καὶ ἐν ἑτοίμῳ γενομένην. ἔνθεν καὶ παροιμία·

Μᾶζαν μεμαχὼς τὴν ὑπ' ἐμοῦ μεμαγμένην.

Μεμακκοακότα. τὰ Μακκοῦς φρονοῦντα, ἀνοηταίνοντα. Μακκὼ γὰρ καὶ Λαιμὼ ἐγένοντο ἐνεαί· τουτέστι, βαρέως νοοῦσαι. [*Ἀριστοφάνης·*

Ὁ δὲ ὡς ὁρᾷ μεμακκοακότα τὸν δεσπότην,
τέχνην πεποίηται.]

Μεμακυῖα. προθυμουμένη.

Μεμαώς. προθυμούμενος.

Μεμαστιλημένος. κατειργασμένος. τουτέστι μεμασημένος.

Μεμαυῖα. προθυμουμένη, γλιχομένη.

Οὐδὲ γὰρ ἐν θνητοῖς ἠδύνατο καὶ μεμαυῖα
εὑρέμεναι Κλωθὼ τῷδ' ἕτερον φονέα.

Μεμβλώκατον. ἀντὶ τοῦ, παραμένουσι. Καὶ Μέμβλετό μοι, ἀντὶ τοῦ, μετ' ἐπιμελείας ἐγένετο.

Μέμβλωκε. παραμένει. Καὶ Μεμβλωκός, παραγενόμενον καὶ μετ' ἐπιμελείας κατασκευασθέν.

Μεμελημένος. πεπονημένος.

Μεμένηται. μένει.

Μεμετρέαται. μεμέτρηνται.

Μέμηλα. ἐφρόντισα. Καὶ Μέμηλε, μέλει.

Μεμηλώς. ἐπιμελούμενος.

Μέμηνε. μαίνεται.

Μεμιλτωμένον. Ἀριστοφάνης·

Τὸ σχοινίον φεύγουσι τὸ μεμιλτωμένον.

Ἐπεὶ ὀκνηρῶς εἶχον οἱ Ἀθηναῖοι πρὸς τὰς συνόδους, εἰώθασιν ὑπηρέται δύο μεμιλτωμένον σχοινίον ἐκτείνοντες διὰ τῆς ἀγορᾶς διώκειν τὸν ὄχλον εἰς τὴν ἐκκλησίαν, ὥς φησι Πλάτων ὁ κωμικός.

ὅσοι δὲ ἐχρίοντο, ἐξέτινον ζημίαν.

Μέμμιος. ὕπατος ἦν Ῥωμαίων.

Μεμισθαρνηκώς. ὁ μισθῷ καμών.

Μέμνη. β' προσώπου.

---

2. *Μεμαγμένην.* Confer Nostrum supra v. *Μᾶζα.* Küst. Et v. *Βίος ἀκανθώδης.* Apparet vero cum verbis *ἔνθεν καὶ παροιμία* superiora continuanda fuisse, *Μεμαγμένη μᾶζα. ἐπὶ τῶν ἑτοίμων ἀγαθῶν.* Quibus pro documento subiiciebatur versus Aristophanis. 4. *Μᾶζάν γε*] γε om. A. B. V. E. Med. Conflavit grammaticus Aristoph. Equ. 55. *Μᾶζαν μεμαχότος ἐν Πύλῳ Λακωνικήν* cum v. 57. *αὐτὸς παρέθηκε τὴν ὑπ' ἐμοῦ μεμαγμένην.* 5. *Μεμακκοακότα. τὰ Μακκ.*] Ex Schol. Aristoph. Equ. 62. *τῆς* ante *Μακκοῦς* om. A. V. Schol. Aristoph. 6. *ἀνοηταίνοντα* abest ab Med.: de quo silent critici. *Λαιμὼ*] *Λαμὼ* *V. Schol. Cf. vv. *Μακκοῦ* et *Μακκώ.* 7. *Ἀριστοφάνης*] Apud Aristophanem loco laudato sic legitur: *Ὁ δ' αὐτὸν ὡς ὁρᾷ μεμακκοακότα, Τέχνην πεποίηται.* Küst. Haec ab V. Ox. praetermissa notavimus. 9. *ποιεῖται*] *πεποίηται* A. 10. *Μεμακυῖα*] Corruptio glossae quae subsequitur *Μεμαυῖα.* Videtur tamen quae olim extiterat interpretatio vera (vide Hesychium et apud Zon. p. 1352. ex Il. δ'. 435. *Μεμακυῖαι. μηκώμεναι*) perisse, ut fit, cum librarii ad finitimam glossam aberrassent. Vide supra v. *Μεθαρμοζόμενος.* Sub finem *γλιχομένη* reiecerunt A. B. V. 11. *Μεμαώς*] Il. δ'. 40. 12. *Μεμαστιλημένος*] Portus suspicabatur legendum esse *μεμυστιλημένος*: quam coniecturam veram esse patet ex ipso Suida infra v. *Μυστιλᾶσθαι*, quo lectorem remittimus. Küst. *τουτέστι μεμασημένος*] Has duas voces priores editt. non agnoscunt, quas ex MSS. Pariss. revocavimus. Küst. 14. *Μεμαυῖα*] V. Schol. Il. δ'. 73. 15. *Οὐδὲ γὰρ ἐν θνητ.*] Distichum adesp. DCXVIII, 3. 4. Anthol. Pal. VII, 148. *θνητοῖσιν ἐδύνατο*] *θνητοῖς* (vel *θνητοῖσιν*) *ἠδύνατο* A. V. E. Med. Id reposuimus, firmatum v. *Κλωθώ.* Ceterum legendum *θνητοῖσι δυνήσατο* cum Anthol. 17. *παραμένουσι*] Sic recte MSS. Pariss. At priores editt. male *παραβαίνουσι.* Homerus Il. δ'. 11. *Τῷ δ' αὖτε φιλομμειδὴς Ἀφροδίτη Αἰεὶ παρεμέμβλωκε.* Scholiasta: *Παρεμέμβλωκε. παραμένει, πάρεστιν.* Confer etiam Etymologum. Küst. 18. *ἐγένετό μοι*] *μοι* delevi cum A. B. *V.

1. *Μεμβλωκός, παραγενόμενον*] Callimachus [fr. 124.] apud Schol. Sophoclis Oedip. Col. 305. *Ἀμφὶ δέ οἱ κεφαλῇ νέον Αἰμονίηθεν Μεμβλωκὸς πίλημα περίτροχον ἅλκαρ ἔκειτο Εἴδεος.* Ad hunc locum respexisse videtur Suidas. Toup. 2. *καὶ μετ'*] *καὶ* om. A. Mox cum A. delevi glossam. quam A. in marg. habet: *Μεμβράς (Μεμβράξ* B.). *εἶδος ᾠφύας. καὶ ἔστιν ἐν τῷ Ἀφύα.* Alterum *Μέμβραξ* praemisit Med. 3. Adverbium habent Hesychius et Zonaras. 4. *Μεμένηται. μένει. Μεμετρέαται. μεμ.*] Sic locum hunc ex 2 MSS. Pariss. emendavi et distinxi, qui in prioribus editt. male sic legitur: *Μεμένηται. μεμέτρηνται. μεμένηται. μένειν.* Küst. *Μεμένηται. μεμέτρηνται* E. 5. *Μεμετρέαται*] Herodot. IV, 86. quem locum Etym. M. non errore tribuit Hipponacti, sed per verborum damna: v. Crameri Anecd. I. p. 288. 6. *Μέμηλε* addunt A. B. V. E. cum Photio et Lex. Bachm. p. 297. Mox *Μέλλει* MSS. (praeter *V.) et Phot. 9. *Ἀριστοφάνης*] Acharn. 22. Vide ibi Scholiastam, cuius verba Suidas hic descripsit. Küst. Nomen om. sola Med. Integram Scholiorum annotationem repetiit v. *Σχοινίον.* 16. Sub finem cum A. V. delevi: *ἔστιν ἐν τῷ Ἀχαΐα.* 17. *καμών*] Sic recte MSS. Pariss. [*V.] itemque editio Mediol. [Lex. Bachm. p. 298.] et Photius in Lexico inedito. At editt. Aldina, Basil. et Genev. male, *κακῶν*: quam lectionem Portus in versione secutus fuerat. Küst. Similiter Hesychius v. *Μεμισθαρνηκότα.* 18. *Μέμνῃ*] Il. ό. 18. *προσώπου*] *ασώπου* *V. et A pr. Delevit statim Gaisfordus *καὶ Μέμνηταί σου. γενικῇ*: cum A. V.

Μεμαγμένην. Pistam et paratam. hinc proverbium, Maza pista, dictum de bonis paratis. *Mazam qui pinsuit, a me iam ante pistam.* *Μεμακκοακότα.* Macconis mente praeditum. id est, stultum. Macco enim et Laemo fuerunt mulieres stupidae et fatuae. [Aristophanes: *Ille vero cum vidit dominum desipientem, technas molitur.*] *Μεμακυῖα.* Cupiens. *Μεμαώς.* Cupidus. *Μεμαστιλημένος.* Confectus, mansus. *Μεμαυῖα.* Prompta, cupida. *Haud enim Clotho inter mortales, quamvis vellet, alium unde periret potuit invenire.* *Μεμβλώκατον.* Adsunt. Et *μέμβλετό μοι*, curae mihi fuit. *Μέμβλωκε.* Permanet. Et *Μεμβλωκός*, quod advenit et cum cura paratum est. *Μεμελημένος.* Cum cura elaboratus. *Μεμένηται.* Manet. *Μεμετρέαται.* Mensurati sunt. *Μέμηλα.* Curavi. Et *Μέμηλε*, curae est. *Μεμηλώς.* Curans. *Μέμηνε.* Insanit. *Μεμιλτωμένον.* Aristophanes: *Funem fugiunt minio tinctum.* cum Athenienses ad concionem seguiter convenirent, duo ministri solebant funem minio tinctum extendere, eoque per forum compellere turbam in concionem, ut ait Plato Comicus. quibus igitur minium allineretur, multam persolvebant. *Μέμμιος.* Memmius, Consul Romanorum. *Μεμισθαρνηκώς.* Mercede conductus. *Μέμνῃ.* Est secundae personae.

Μεμνῆτο. μιμνήσκοιτο. οὕτω προπερισπωμένως· ὡς Ἡρωδιανὸς ἐν τῇ Ὁμηρικῇ προσῳδίᾳ. Ἀριστοφάνης Πλούτῳ·

Ἵνα τούμὸν ἱμάτιον φορῶν μεμνῆτό μου.

Μέμνων, ὁ ἐς Ἴλιον στρατεύσας, ἦγεῖτο μὲν Αἰθιόπων, οὐκ ἦν δὲ Αἰθίοψ, ἀλλὰ ἀπὸ Σούσων τῶν Περσικῶν καὶ τοῦ Χοάσπου ποταμοῦ, τὰ ἐκείνῃ ἔθνη ὑποχείρια ἔχων.

Μέμονα. προθυμοῦμαι.

Μέμορται. μεμοίραται.

Μεμωκημένος. καταπεφρονημένος.

Μέμωνος. ὄνομα κύριον.

Μεμπτέος. μέμψεως ἄξιος.

Μεμοιραμένων. λαχόντων, κληρωσαμένων.

Μεμοίραται. μετέχει, εἴληφε.

Μεμυαλωμένα. εὐτραφῆ καὶ πίονα. οὕτω γὰρ καὶ ὁ Νόμος ἐκέλευσε. καὶ Μαλαχίας δὲ ὁ προφήτης ἐκέλευσεν ἄμωμά τε καὶ ἄρτια· ἐπαρᾶται δὲ τοῖς τοιαῦτα μὲν ἔχουσιν, ἀνάπηρα δὲ προσφέρουσι.

Μεμύημαι. πεπείραμαι.

Μεμυκότα. κρύψαντα, καμμύσαντα· ἢ κεκολλημένα. καὶ Ὅμηρος·

Σὺν δ' ἕλκεα πάντα μέμυκεν.

ἐκ παρατηρήσεως Ὁμηρός φησι τῶν ἐν πολέμῳ τρωθέντων τὰ τραύματα μὴ μύειν, μόνου δὲ τοῦ Ἕκτορος κατὰ θείαν πρόνοιαν. καὶ ἐν Ἐπιγράμμασι·

Τὸν πάρος Ὀρβηλοῖο μεμυκότα δειράσι ταῦρον.

ἀντὶ τοῦ, μυκηθμῷ χρώμενον, μυκώμενον.

Μεμύρωμαι. Ἀριστοφάνης·

Μακαριωτάτη ἐγώ, ἥτις μεμύρωμαι τὴν κεφαλὴν μυρώμασιν ἀγαθοῖς· πολὺ δ' ὑπερπέπαικεν αὐτῶν τὰ Θάσια ἀμφορείδια.

Ἀμφορείδια τὰ κεράμια. Ἀπανθήσαντα δέ, ξηρανθέντα.

Μεμυστιλημένοι. εὐωχημένοι, ζωμὸν ἀρυσάμενοι ἄρτοις κοίλοις, καὶ μυστρία μιμουμένοις. ὅθεν καὶ τὸ ὄνομα τοῖς μυστρίοις· οἷον μυστίλιον

---

1. *Μεμνῆτο*] Conf. Schol. Ven. Il. ψ'. 361. Veterum doctrinam labefactavit Buttmannus Gramm. ampl. I. p. 441. Ceterum Suidae locum aliquando repertum iri in Schol. Aristoph. cod. Rav. aut Ven. Gaisfordus augurabatur. 2. *τῇ μερικῇ προ.* Holstenius in ind. auctorum a Steph. Byz. laudatorum. Contra *ἱστορίᾳ προσῳδία* MS. apud Porson. Aristoph. p. 123. 3. *Ἀριστοφάνης Πλούτῳ*] V. 992. *καὶ* ante *Ἀριστοφάνης* delevi cum *V. 5. *Μέμνων*] Pausanias X. [31,7.] p. 875,25. *Hemst.* Pausanias, a quo Suidam pendere Wesselingius in Diod. II,22. monuerat, haec verba facit: *Ὅτι ὁ Μέμνων βασιλεὺς ἦν τοῦ Αἰθιόπων γένους, ἀφίκετο μέντοι ἐς Ἴλιον οὐκ ἀπ' Αἰθιοπίας, ἀλλὰ ἐκ Σούσων τῶν Περσικῶν καὶ ἀπὸ τοῦ Χοάσπου ποταμοῦ, τὰ ἔθνη πάντα ὅσα ᾠκει μεταξὺ ὑποχείρια πεποιημένος. ὁ ἐς Ἴλιον στρατεύσας*] Negat id Philostratus de Vit. Apoll. lib. VI. c. 3. quem vide. *Küst.* 6. *Σούσων*] *Σούνων* A. 7. *ἐκεῖσε*] *ἐκείνῃ* recepi cum A. 9. *Μέμονα*] Il. *έ*. 482. 12. Glossa corrupta. 16. *Μεμυαλωμένα. εὐτραφῆ καὶ π.*] Pearsonus recte observaverat, notam hanc referendam esse ad Psalm. LXV,15. ubi David secundum versionem *τῶν* LXX. sic inquit: *Ὁλοκαυτώματα μεμυαλωμένα ἀνοΐσω σοι μετὰ θυμιάματος.* Theodoretus in illum locum: *Μεμυαλωμένα κέκληκε τὰ εὐτραφῆ καὶ πίονα. οὕτω γὰρ καὶ ὁ Νόμος προσφέρειν ἐκέλευσεν ἄμωμά τε καὶ ἄρτια. ἐπαρᾶται δὲ καὶ ὁ προφήτης Μαλαχίας τοῖς τοιαῦτα μὲν ἔχουσιν, ἀνάπηρα δὲ προσφέρουσιν.* Hinc Suidas supplendus et emendandus est. *Küst.* Sunt ex Psalm. LXV,15. Leg. *Μεμυελωμένα. Valck.* Hoc maluerunt etiam Sopingius et Toupius. Eadem cum auctario recurrunt in Cram. Anecd. II. p. 461.

Χρῆμα. πρᾶγμα, ἢ κτῆμα, πλοῦτος, οὐσία, λῆμμα. Τὸ δὲ δωμάτιον ζοφῶδες ἦν καὶ ἀδιατύπωτον, καὶ ὥρᾳ θέρους ἐς τὰ μάλιστα ἀνάρμοστον, ὡς δοκεῖν εἶναι τὸ χρῆμα εἰρκτήν. Καὶ αὖθις· Ὁ δὲ κατέσεισεν ἅπαντα καὶ κατεβρόντησεν ἐς τοσοῦτον, ὥστε ὁ τοῦ μύθου Σαλμωνεὺς μικρόν τι χρῆμα πρὸς αὐτὸν ἦν. Ἰουλιανός· Πρὸς τὴν Ἑρκυνίαν ὕλην ἐθέλομεν, καὶ εἶδον ἐγὼ χρῆμα ἐξαίσιον. ἰδοὺ γοῦν σοι θαῤῥῶν ἐγὼ ἐγγυῶμαι μή ποτε ὦφθαι τοιοῦτον, μηδὲ ὅσα γε ἡμεῖς ἴσμεν ἐν τῇ Ῥωμαίων. ἀλλ' εἴτε τὰ Θετταλικὰ Τέμπη δύσβατα νομίζει τις, εἴτε τὰ ἐν Θερμοπύλαις, εἴτε τὸν μέγαν καὶ διωλύγιον Ταῦρον, ἐλάχιστον ἔστω χαλεπότητος ἕνεκα πρὸς τὸ Ἑρκύνιον τοὔνομα. Καὶ Εὐνάπιός φησιν· Ὁ δὲ τὰς δυνάμεις ἤθροισε, τὸ χρῆμα τῆς διαβάσεως ἐπισπέρχων ἤδη καὶ συμβιαζόμενος, καὶ πλὴν ἀγαθῆς ψυχῆς σῶμα οὐκ ἔχων.

Χρῆμα. πρᾶγμα. Μέγα τι χρῆμα καὶ θαυμάσιον ἀνὴρ καὶ ψυχὴ δεόντως ἁρμοσθεῖσα κατὰ τὴν ἐξ ἀρχῆς σύστασιν, πρὸς ὅ τι ἂν ὁρμήσῃ τῶν ἐξ ἀρχῆς ἔργων. Καὶ αὖθις· Εἰκάζειν ἂν βοῶν ἀγέλῃ μεγίστῃ τὸ χρῆμα. περὶ βαρβαρικῆς παρατάξεως ὁ 684
λόγος. Ἡρόδοτος· Ἦν τε τοῦ χειμῶνος χρῆμα ἀφόρητον. Καὶ Ἀριστοφάνης·

Τὸ χρῆμα τῶν νυκτῶν ὅσον,
ἀπέρατον.

δηλαδὴ τὸ ἔκταμα, τὸ μέγεθος. ἔθος δὲ τοῖς Ἀττικοῖς ἐπαγωγῇ χρῆσθαι· οἷον, ἵππος σπάνιόν τι χρῆμα· γυνὴ κακόν τι χρῆμα. καὶ ἐπὶ τῶν ἄλλων ὁμοίως, ὧν ἂν ἐξαίρειν βούλωνται. Ὁ δὲ χρημάτων οὐκ ἦν εὔπορος, οὐδὲ ὅσα ἂν ἐξήρκεσεν ἑτέρῳ

1. *Νῦν γὰρ δή σ.*] Lego et distinguo, *Νῦν γὰρ δή σοι πάρα μὲν θεσμοὶ τῶν ἡμετέρων, πάρα δ' ἄλλων, Ὧν χρῆς.* Küst. Merito repugnat Meinekius in Com. Vol. II. p. 87. 2. *ἄλλ' ὅ τι χρῆς*] *ἄλλοτε χρῆς* E. *ἀλλό τι χρῆσθαι* A. B. De hoc loco v. Dindorfii Annott. in Soph. Antig. 887. itemque Bergk. Commentt. de ant. Com. p. 135. *χρῆ* indicativum etiam Hipponacti reddidit Meinekius Choliamb. poesi p. 120. 3. *δέοι*] *δέει* A. Vide gl. *Χρείη.* *Εὐθύφρονι*] P. 4. *Πευσόμενοι τοῦ ἐξηγ.*] Apud ipsum Platonem in Euthyphrone sic legitur, *Πευσόμενον τοῦ ἐξηγητοῦ, ὅ τι χρὴ ποιεῖν.* Küst. 4. *τί χρείη*] L. *ὅ τι χ.* Vid. de *χρείη* vel potius *χρεὶ* ἦ ad Hesych. et Dawes. (p. 332.) notata. *Valck. χρείη* ex bonis libris reddidit Bekkerus. 5. *Θέλω* addunt A. B. Med. 7. *Τὸ δὲ δωμάτιον*] Haec sunt verba Menandri in Excerptis Hoeschelii p. 145. [p. 416. ed. Nieb.] ubi legitur: *τό τε δωμάτιον αὐτὸ ζοφῶδές τε ἦν καὶ διάπνευστον.* Vox postrema corrupta est. Sed coniecturis nihil opus. Nam Menander proculdubio ex Suida corrigendus est: *Δωμάτιον ζοφῶδες καὶ ἀδιατύπωτον, domus tenebricosa et incommoda.* Quod unice et elegantissime dictum. Vox occurrit apud Ocell. Lucan. de Universo c. 2. *Καὶ ὁ ἀὴρ ἀδιατύπωτος πρὸς ψόφον καὶ πρὸς λέξιν καὶ μέλος.* Theophyl. Simocatta in Hist. VI, 1. p. 144. *Ἀλλότριόν τε καὶ ἀδιατύπωτον.* Hesych. *Ἀμόρφωτον. ἀδιατύπωτον.* Occurrit etiam eadem vox apud Philonem vol. II. p. 269. edit. Mangey. Atque haec scripseram. Sed cum noster Suidas, ut est homo suavissimus et fidei parum Graecae, nos non raro ludificetur, vide an Menander Menandro leviori manu restitui possit. Itaque lego, *Τό τε δωμάτιον αὐτὸ ζοφῶδές τε ἦν καὶ ἀδιάπνευστον.* Nimirum quicquid tectorum amplum et *εὐρύχωρον* est, Graecis *διαπνεῖσθαι* dicitur. Iamblichus de Vita Pythagorae c. 16. p. 56. edit. Küster *Κατέδειξεν τοῖς ἑταίροις ἐχεμυθίαν τε καὶ παντελῆ σιωπὴν πρὸς τὸ γλώσσης κρατεῖν συνασκοῦσαν ἐπὶ ἔτη πολλά, σύντονόν τε καὶ ἀδιάπνευστον περὶ τὰ δυσληπτότατα τῶν θεωρημάτων ἐξέτασίν τε καὶ ἀνάληψιν.* Hesychius: *Ῥιπιστά. διαπνεόμενα.* Quod respexit ad Ierem. XXII, 14. *Domum perflatilem* vocat Appuleius. Hinc recte Menander: *Δωμάτιον ζοφῶδες καὶ ἀδιάπνευστον, domus tenebricosa et imperflatilis.* Quod aestate praesertim perquam incommodum. Et hoc verum. *Toup.* II. p. 386. Praestat *ἀδιάπνευστον.* 8. *ἀνάρμοστον*] *ἀναρμόδιον* B. cum Exc. quod reiiciendum. 9. *Ὁ δὲ κατέσεισεν ἅπ.*] Haec sunt verba scriptoris incerti de Eutropio eunucho, ut patet ex ipso Suida supra v. *Εὐτρόπιος.* Küst. Eunapii Fr. 32. *κατημβρόντησεν* Med. 12. *Ἰουλιανός*] Non in iis quae hodie extant operibus. Küst. 14. *μή σε*] *μή ποτε* A. B. *μήτε* E. 15. *μηδὲ*] *μηδέν* Heylerus in Iuliani Epp. p. 532. Mallem abesse. *ὅσα ποτέ*] *ποτέ* om. omnes MSS. temere transpositum.

1. *τὸν Ἑρκύνιον*] *τὸ Ἑρκύνιον* A. B. E. Cf. v. *Ἑρκύνιοι δρυμοί.* Sub finem displicet *τοὔνομα.* 2. *Εὐνάπιος*] Fr. 67. sive p. 106. ed. Nieb. *καὶ τὸ*] *καί* om. A. B. 4. *βιαζόμενος* B. E. qui infra om. *ψυχῆς* cum Med. Dein displicet *σῶμα.* 5. *τι χρῆμα*] *τὸ χρῆμα* Gaisf. cum A. Mox *δὲ οὕτως* E. pro *δεόντως.* 8. Sub finem *ἐξ ἀρχῆς* e praegressis videntur irrepsisse. *Εἰκάζειν ἂν*] Infinitivum ab hoc loco abhorrere opinor. 10. *Ἡρόδοτος*] Lib. VII. c. 188. Ubi legitur *ἦν δὲ* in optimis MSS. 11. *Ἀριστοφάνης*] Initio Nubium. Küst. Cf. v. *Ἀπέρατον.* 13. *ἀπέρατον* om. E. *ἀπέρατον — μέγεθος* om. A. Itaque videtur *ἀπέρατον* excludi posse, quod veterum nonnulli nesciunt in huius versus memoria. Quae sequuntur usque ad *βούλωνται* extant in Scholiis Comici. 16. *χρῆμα* om. A. Dein *καὶ* ante *γυνὴ* invitis suis libris Dindorfius servavit in Schol. *κακόν*] *σπάνιον* Schol. 17. *ἐξαίρειν*] *ἐξευρεῖν* Suidae ignarus Scholiis reliquit Dindorfius. 18. *ἕτερα*] *ἑτέρῳ* A.

Nunc enim tibi in promptu sunt legesnostrae, in promptu vero quibuslibet indiges. At *Χρείη*, oporteat. Plato in *Euthyphrone*: *Quaesiturum ex interprete, quid oporteat facere.* *Χρήζω.* Genitivo iungitur. volo. *Χρῆμα.* Res. vel opes, divitiae, facultates, lucrum. *Erat autem cubiculum obscurum et ventis nullis perflabile et tempore aestivo maxime importunum, adeo ut domus videretur esse carcer.* item: *Ille vero omnia concussit et tonitrus instar perturbavit, adeo ut fabulosus ille Salmoneus cum eo collatus parva quaedam res esse videretur.* Iulianus: *Ad silvam Hercyniam contendentes rem inusitatam vidimus. enimvero tibi affirmare ausim nihil tale unquam esse visum, quantum quidem rerum in imperio Romano cognitum habemus. sive enim quis Thessalica Tempe inaccessa existimat, sive loca ad Thermopylas, sive ingentem et arduum montem Taurum, minima haec esse scito cum saltus Hercynii asperitate collata.* et Eunapius: *Ille autem copias coegit, transitum accelerans et occupans, nulla re instructus praeterquam animi audacia.* *Χρῆμα.* Res. *Magna quaedam res est et admiranda vir et animus in primo ortu recte compositus, quicquid operum aggressurus sit.* item: *Res erat quae maximo boum armento assimilari poterat.* de acie barbarorum haec dicuntur. Herodotus: *Erat autem hiems illa res intolerabilis.* Et Aristophanes: *Quam infinitum est hoc noctis negotium.* dicit spatium vel longitudinem. Atticis autem consuetum est appositione uti: ut, equus rara quaedam res, mulier mala quaedam res. item in ceteris similiter, quae exaggerare volunt. *Ille autem non abundabat opibus, neque tantae ipsi suppetebant facul-*

πρὸς τὴν τοῦ ἀναγκαίου βίου διαγωγήν, οὐδὲ τοσαῦτα κεκτημένος.

Χρῆμα. χρῆσις. Ἰώσηπος· Ἦν δὲ σάββατον ἀργία παντὸς χρήματος ἡμέρα τοῖς Ἰουδαίοις τιμιωτάτη. Καὶ αὖθις· Κινδυνεύει ἀποσβῆναι τῆς ἀληθείας τὸ χρῆμα. Καὶ Χρήματα παρὰ Ἡροδότῳ ἀντὶ τοῦ πράγματα. Χρήμασιν ἐδωρήσατο.

Χρήματα χρήματ' ἀνήρ, πενιχρὸς δ' οὐδέποτ' ἐσθλός. ἐπὶ τῶν διὰ πλοῦτον εὐημερούντων. Ἀριστόδημός φησι. μέμνηται τοῦ Ἀριστοδήμου καὶ Ἀλκαῖος·

Ὡς γὰρ δήποτέ φασιν Ἀριστόδημον
ἐν Σπάρτᾳ λόγον οὐκ ἀπάλαμνον εἰπεῖν,
Χρήματα

καὶ τὰ ἑξῆς. Καὶ αὖθις Ἀριστοφάνης·

Οὐκ οἶδ' ὅ τι χρῆμά με ποιεῖς.
Σκέψαι τοίνυν ὡς ἐξόν σοι πλουτεῖν καὶ
τοῖσιν ἅπασιν,
ὑπὸ τῶν ἀεὶ δημιζόντων.

Καὶ Σοφοκλῆς·

Τί χρῆμα δρᾷς,
Αἶαν; τί τήνδ' ἄκλητος οὐδ' ὑπ' ἀγγέλων
κληθεὶς ἀφορμᾷς πεῖραν, οὔτε του κλύων
σάλπιγγος; ἀλλὰ νῦν γε πᾶς εὕδει στρατός.
ὁ δ' εἶπε πρός με βαί', ἀεὶ δ' ὑμνούμενα·
Γύναι, γυναιξὶ κόσμον ἡ σιγὴ φέρει.
κἀγὼ μαθοῦσ' ἔληξ'· ὁ δ' ἐσσύθη μόνος.

Χρήματα χρήματ' ἀνήρ. αὕτη ἀποφθεγματική ἐστιν, ὡς τὰ παραγγέλματα τῶν ζ' σοφῶν. μέμνηται αὐτῆς Πίνδαρος καὶ Ἀλκαῖος. ὁμοία τῇ, ὡς καὶ Ἀρχὴ ἄνδρα δείκνυσι· καὶ τῇ, Τὴν κατὰ σαυτὸν ἔλα· καὶ τῇ, Γνῶθι σαυτόν. λεχθῆναι δὲ αὐτὴν Ἀλκαῖος μὲν ὑπὸ Ἀριστοδήμου τοῦ Σπαρτιάτου φησί, Πίνδαρος δὲ ὑπό τινος Ἀργείου τὸ ὄνομα, οὕτω λέγων. ὁ δ' Ἀριστόδημος ἐγκαταριθμεῖται τοῖς ζ' σοφοῖς ὑπό τινων.

Χρηματίζεσθαι. χρήματα πράττεσθαι. ἐὰν δέ τις εἴπῃ τὴν λέξιν ἐνεργητικῶς χρηματίζει, οὐκέτι τὸ αὐτὸ δηλοῖ, ἀλλὰ τὸ πράγμασι χρῆσθαι· οἷον φαμέν, χρηματίζει ἡ βουλὴ καὶ ὁ δῆμος. οἷον, 685

3. χρῆσις] *Θουκυδίδης* addunt A. E. Latitat pristina scriptura, *καὶ χρῆσις Θουκυδίδης*. Tangitur Thuc. VII, 5. Ἰώσηπος] Ant. Iud. XVIII, 9, 2. Ἦν δὲ σάββατον ἀγία παντὸς χρ.] Constructio turbata videtur. Scribendum enim potius est, ἦν δὲ σάββατον ἀγία ἡμέρα, παντὸς χρήματος τοῖς Ἰουδαίοις τιμιωτάτη. *Küst.* 4. ἁγία] ἀργία B. E. ἀργίας Iosephus, qui τιμιωτάτη omisit. Plenior scripturam Suidas servavit, modo sic utrosque refingamus: ἦν δὲ σ. ἀργίας ἡμέρα, παντὸς χρήματος τοῖς Ἰουδαίοις τιμιωτέρα. 5. ἀποβῆναι] ἀποσβῆναι A. B. Med. 6. Ἡροδότῳ] Respicere videtur ad VII, 145. *πρῶτον χρημάτων πάντων*. Cf. Bekk. Anecd. p. 316. et gl. *Χρηματίζεσθαι*, coll. Schneid. in Xenoph. Cyrop. V, 2, 34. Gl. Herod. I, 33. *χρήματος. πράγματος*. 8. Χρήματ' ἀνήρ, πενιχρ.] Pindarus Isthm. II, 17. *Χρήματα, χρήματ' ἀνήρ*. Scholiastes in illum locum: *τοῦτο ἀναγράφεται καὶ εἰς τὰς παροιμίας ὑπ' ἐνίων. ἀπόφθεγμα δέ ἐστιν Ἀριστοδήμου, καθάπερ φησὶ Χρύσιππος ἐν τῷ περὶ παροιμιῶν. τοῦτον δὲ τὸν Ἀριστόδημον Πίνδαρος μὲν οὐ τίθησιν ἐξ ὀνόματος, ὡς δήλου ὄντος ὃς ἐστιν ὁ τοῦτο εἰπών· μόνον δὲ ἐσημειώσατο τὴν πατρίδα, ὅτι Ἀργεῖος. Ἀλκαῖος δὲ καὶ τὸ ὄνομα καὶ τὴν πατρίδα τίθησιν, οὐκ Ἄργος, ἀλλὰ Σπάρτην· Ὡς γὰρ δήποτε φασὶν Ἀριστόδημον ἐν Σπάρτᾳ λόγον οὐκ ἀπάλαμνον εἰπεῖν, Χρήματ' ἀνήρ· πενιχρὸς δὲ οὐδεὶς πέλετ' ἐσθλὸς οὐδὲ τίμιος.* Haec Suidam egregie illustrant. *Küst.* *Χρήματα* bis A. Vid. Menag. in Diog. Laert. I, 31. Ceterum verisimiliter homines eruditi Aristodemum, natu Argivum, inter Spartanos esse versatum existimant: v. Hermanni Antiqu. Laconic. p. 93. 12. Ἀριστόδημόν φασιν] Verborum ordinem leviter mutavi, et sic in v. seq. ut metrum servarem. Vulgo ibi *οὐκ ἀπάλαμνον λόγον*. *Gaisf.* Paulo facilius procedunt numeri a Bergkio in Musei Rhenani Vol. III. p. 227. confecti, quorum tamen incessum nondum adducor ut huic sententiae tribuam: Ὡς γὰρ δήποτ' Ἀριστόδαμόν φασ' (φαισ' Schneidew. fr. 41.) *οὐκ ἀπάλαμνον ἐν Σπάρτᾳ λόγον* | *Εἰπῆν, χρήματ' ἀνήρ, πενιχρὸς δ' οὐδεὶς πέλετ' ἐσλὸς οὐδὲ τίμιος.* 15. Ἀριστοφάνης] Vesp. 717—719. (695.) 17. *τοίνυν γ'*] γ' om. A. Med. 18. *μηδιζόντων*] Apud Aristophanem rectius legitur *δημιζόντων*. Est autem *δημίζειν auram popularem captare* vel *populo studere*: eaque vox comica licentia conficta est, et eodem modo formata quo *μηδίζειν*, *φιλιππίζειν* et similia. *Küst.* *δημιζόντων* A. 20. *Σοφοκλῆς*] Ai. 288—294.

2. Αἶαν] Αἴας E. Tum *τί τῷ δ'* A. 5. βαιὰ] *βαιὰ μὲν* A. 8. *Χρήματα, χρ.*] Vide articulum praecedentem et quae ibi notavimus. *Küst.* Zenob. VI, 43. 10. *ὁμοία τῇ — σαυτόν*] Sunt haec emblemata lectorum. Saltem *ὡς καὶ* tollenda sunt. 11. *καὶ τῇ*] *καὶ τὸ* A. E. 15. *οὕτω*] *αὐτοῦ οὕτως* E. *οὕτω λέγων* male sunt invecta. 17. *Χρηματίζεσθαι*] Schol. Platon. p. 459. (coll. Schol. Luciani Conscr. hist. 48.) *Χρηματίζηται. τοῦτο μὲν τὸ παθητικὸν τὸ χρήματα πράττεσθαι· τὸ δὲ χρηματίζειν τὸ ἐνεργητικὸν τὸ πράγμασι χρῆσθαι, οἷον χρηματίζει ἡ βουλή· ἀφ' οὗ καὶ χρήματα τὰ πράγματα.*

tates, quantae ad necessarios vitae usus alteri suffecissent. **Χρῆμα.** Iosephus: *Sabbatum autem erat feriandi dies, omnium maxime venerabilis res apud Iudaeos.* item: *Videtur sanctitas veritatis evanuisse.* Et **Χρήματα**, de negotiis apud Herodotum. *Pecunia eum donavit.* **Χρήματα χρήματ' ἀνήρ.** *Pecunia pecunia virum facit, pauper vero nunquam in honore.* dicitur in eos qui propter divitias honorantur. Aristodemi dictum. Aristodemi meminit etiam Alcaeus: *Ut enim Aristodemum Spartae sententiam non inscitam dixisse aiunt,* **Pecunia** et quae sequuntur. item Aristophanes: *Nescio quid rei me facias. Vide igitur, cum liceat tibi ditescere et vobis omnibus, quo redactus sis ab oratoribus popularibus.* Et Sophocles: *Quam rem facis, Aiax? quid invocatus nec a nunciis vocatus aggrederis, nec tubam aliquam audiens? at nunc certe totus exercitus dormit. ille vero paucis me increpuit, quae semper celebrantur: Mulier, mulieribus silentium laudi est. quibus auditis ego conticui. tum ille solus exit.* **Χρήματα.** *Pecunia pecunia vir.* est sententia similis Septem Sapientum praeceptis. meminit eius Pindarus et Alcaeus. huic similia sunt, *Magistratus virum ostendit*, et, *Turbinem iuxta te versa*, et, *Nosce te ipsum.* huius autem sententiae auctorem Aristodemum Spartanum Alcaeus edit, Pindarus vero Argivum quendam. Aristodemum autem Septem Sapientibus quidam annumerant. **Χρηματίζεσθαι.** Pecuniam colligere. si quis vero active dicit *χρηματίζει*, non amplius idem significat, sed negotiis publicis vacare. ut cum dicimus, Senatus et Populus

πράγμασι σχολάζει. ἀφ' οὗ χρήματα τὰ πράγματα.

Χρηματίζεσθαι. πλουτεῖν. Οὐδὲ χρηματίζομαι· πάλαι γάρ μοι ταῦτα ἐδόκει καὶ ἐκ μειρακίων λῆρος καὶ φλήναφος.

Χρηματίζει. δοτικῇ. ἀποκρίνεται, πρᾶγμα διοικεῖ. οὕτως Ἀππιανὸς ὁ ἱστορικός· Τοῖς πρέσβεσιν ἐχρημάτισε.

Χρηματίζειν ἐστὶ τὸ λόγους διδόναι ἀλλήλοις. Ἀριστοφάνης δέ·

Καὶ χρηματίζειν πρῶτα περὶ Εὐριπίδου,
ὅ τι χρὴ παθεῖν.

Χρηματισαμένων. χρήματα λαβόντων. Ἀρριανός· Χρηματισαμένων δὲ καὶ αὐτῶν, τρίτη παρεγένετο πρεσβεία.

Χρηματισάμενοι. πραγματευσάμενοι. Καὶ Χρηματίσαι μέν ἐστι τὸ πρᾶξαι, χρηματίσασθαι δὲ τὸ κερδᾶναι παρὰ Θουκυδίδῃ.

Χρηματίσεσθαι. χρήματα λαβεῖν. Ἡροφίλα, ἡ καὶ Σίβυλλα Ἐρυθραία, ἔγραψε βιβλία γ' μαντικά· καὶ ἦλθεν εἰς Ῥώμην χρηματίσεσθαι. καταφρονηθεῖσα δὲ ἔκαυσε τὰς δύο βίβλους.

Χρημάτισις. χρημάτων συναγωγή. Ἀλλιανός· Ὁ δὲ τῆς θεοσυλίας τε καὶ ἀθέσμου χρηματίσεως διαφθαρεὶς τὸν μισθὸν ἠνέγκατο τοῦτον πικρότατόν τε καὶ πικρωδέστατον.

Χρηματισμός. Πᾶσι δὲ συνετάττετο ποιήσασθαι τοὺς χρηματισμούς. τουτέστι, τὰς διοικήσεις. Καὶ αὖθις· Ὁ δὲ τοὺς πρεσβευτὰς ἑτοίμως δεξάμενος ἐχρημάτιζε τούτοις. ἀντὶ τοῦ ἐκοινολογεῖτο, λόγους ἐδίδου. Καὶ αὖθις· Ἐν χρηματισμῷ δικαίῳ καταστάς.

Ὅτι φησὶ Δαμάσκιος, τὸν χρηματισμὸν (τουτέστι, τὴν τῶν χρημάτων συλλογήν,) μηδὲ φανεῖσθαι τοῖς ἐν ᾅδου πρὸς βοήθειαν, οὐδὲ τὴν τρυφὴν οὐδὲ τὰς πολυαράτους ταύτας τιμάς, ὧν οὐδὲν προτιμῶσιν οἱ πολιτικοὶ καὶ σφόδρα ὑπὸ τῶν πολλῶν μακαριζόμενοι ὡς εὐδαίμονες, ὄντες γε τῇ ἀληθείᾳ κακοδαίμονες.

Χρηματιστής. χρημάτων πορισής, ὁ ῥᾳδίως χρήματα πορίζων οὕτω προσαγορεύεται. κεῖται τὸ ὄνομα παρὰ Λυσίᾳ.

Χρημάτων. συνήθως μὲν οἵ τε ἰδιῶται καὶ οἱ ῥήτορες τῷ ὀνόματι τῶν χρημάτων ἐπὶ νομίσμασι χρῶνται ἀργυρίου καὶ χρυσίου, καὶ ἐπὶ τῆς ὅλης οὐσίας τὴν λέξιν ταύτην ἔταξαν. Τὸν ἀπο-

---

3. *Οὐδὲ χρηματίζομαι· πάλ.*] Ex Marco Antonino, ut puto. *Küst.* Fallitur: nimirum Aeliani locus est, quem integrum servat v. *Θρέμματα.* 6. *Χρηματίζει*] Vid. *Σαραπίων. Toup.* MS. *δοτικῇ* delendum cum Lex. Bachm. p. 417. 7. *Ἀππιανὸς*] Lexicon *περὶ Συντάξεως* Bekk. p. 179, 21. *Χρηματίζων. ὁ αὐτὸς* (Appianus) *δευτέρῳ Αἰγυπτιακῶν· Πρεσβείαις ὁ Καῖσαρ ἐχρημάτισεν.* 8. *ἐχρημάτιζε*] *ἐχρημάτισε* A. 9. *καὶ τὸ*] *καὶ* om. A. B. Mox post *ἀλλήλοις* delevi, *τινὲς δὲ καὶ ἀντὶ τοῦ ὑπάρχειν ἐξέλαβον.* Gaisfordus: „*τινὲς — ἐξέλαβον* om. A. Et fortasse delenda sunt, non enim extant in Schol. Aristoph. Thesm. 377. ed. Bekker, ubi cetera reperiuntur." 10. *Ἀριστοφάνης*] Thesmoph. 384. 18. *κερδᾶναι*] *τὸ κερδᾶναι* E. [Med.] Lex. Seg. Tum *παρὰ Θουκυδίδῃ* om. Lex. Seg. Sumpta haec sunt ex Schol. Thucyd. I, 87. Conf. Duker. in V, 61. VI, 62. *Gaisf. τὸ* inserui. 19. *Ἡροφίλα*] Haec amplioribus verbis leguntur supra in v. *Ἡροφίλα*: unde defectus orationis ante *χρηματίσεσθαι* resarciendus est. *Ἡρ. καὶ ἡ Σ.* Med. Debuit *ἡ καὶ Ἑρ. Σ.*

3. *πικρωδέστατον*] Est vox Graecis scriptoribus ignota. Ne dicam *ταυτολογίαν* fore manifestam, si vox ista admittatur. Praecessit enim *πικρότατον.* Quare cum Kühnio lego *φρικωδέστατον. Küst.* 4. *Χρηματισμός*] Usus est eadem voce Damascius apud Phot. p. 547, 36. *Hemst.* Usum vocis diligenter illustrat Letronnius *Récueil d. Inscr.* I. p. 352. *Πᾶσι δὲ*] Idem locus extat in v. *Συνετάττετο.* 7. *ἐχρημάτιζε τούτοις*] Similis Appiani locus in Lex. de Syntaxi p. 179. supra v. *Χρηματίζει.* Cf. Duk. in Thuc. V, 61. 8. *δικαίῳ*] *δικαίῳ δὲ* A. Immo *δὲ δικαίῳ.* 10. *Ὅτι* add. Gaisf. 11. *μηδὲ*] *μηδὲν* B. E. Med. 13. *πολυαράτους*] Sic recte optimus MS. A. At MSS. B. et C. itemque priores editt. male *Πολυκράτους*, i. e. *Polycratis.* Wolfius tamen iam ante etiam ex ingenio recte emendaverat *πολυαράτους. Küst.* Damascius ap. Phot. p. 1032. *πολυάρατον κολακείαν. Toup.* Adde Damascium in v. *Σαλούστιος.* In continuis videtur Platonis locus de Rep. I. p. 344. B. esse obversatus. 17. *Χρηματιστής. χ. π.*] Schol. Platon. p. 144. *Gaisf.* 23. *λέξιν*] *ἕξιν* B. *τάξιν* E.

---

decernit. hinc *χρήματα*, negotia. *Χρηματίζεσθαι.* Pecuniam sibi comparare. *Neque quaestum facio: id enim vel ab adolescentia mihi visum est delirium et nugae.* *Χρηματίζει.* Responsum dat, negotia publica tractat. sic Appianus historicus: *Legatis responsa dabat.* *Χρηματίζειν* est de negotiis inter se colloqui. Aristophanes: *Ac primum consultare de Euripide, qua poena afficiendus sit.* *Χρηματισαμένων.* Illorum qui pecunias acceperunt. Arrianus: *Cum autem et ipsi pecunias accepissent, tertia legatio venit.* *Χρηματισάμενοι.* Qui negotiati sunt. Et *Χρηματίσαι*, negotia administrare. *Χρηματίσασθαι* vero apud Thucydidem est lucrum facere. *Χρηματίσεσθαι.* Pecuniam accepturum esse. *Herophila, quae Sibylla Erythraea dicitur, tres libros oraculorum scripsit, cum autem Romam venisset, ut ea magno pretio venderet, et repulsam tulisset, duos libros combussit.* *Χρημάτισις.* Studium pecuniae colligendae. Aelianus: *Ille vero interfectus sacrilegii sui et iniustae opum cupidinis mercedem hanc tulit acerbissimam simul et horrendam.* *Χρηματισμός.* Negotiorum administratio. *Omnibus autem praeceperat, ut negotia publica tractarent.* item *Ἐχρημάτιζε*, agebat, negotia tractabat. *Cum autem legatos prompte admisisset, illis responsum dedit.* item: *Cum iustum quaestum faceret.* Damascius: *Opes studiose quaesitas hominibus apud inferos nihil profuturas esse, neque luxum, neque tantopere expetitos honores illos, quibus ambitiosi nihil anteponunt, quos vulgus beatos praedicat, cum revera sint infelices.* *Χρηματιστής.* Sic dicitur quaestui deditus, qui pecuniam facile acquirit. vox extat apud Lysiam. *Χρημάτων.* Vulgo tam indocti quam oratores nomine hoc utuntur de pecunia vel nummis argenteis et aureis. ponitur etiam haec vox in omnibus bonis quae possidentur. *Qui alte-*

κτείναντα ὅσιον εἶναι καὶ θνήσκειν, καὶ τὰ χρήματα αὐτοῦ πεπρᾶσθαι. Κεῖται δὲ ἡ λέξις καὶ ἐπὶ πράγματος ἢ προσώπου ἢ λόγου, ὡς Ἀντιφῶν· τάσσουσι δὲ τὴν λέξιν καὶ ἐπὶ τῶν ἐμπορικῶν φορτίων· ὁ δὲ Λυσίας ἐπὶ τοῦ χρυσοῦ κατασκευάσματος τίθησι.

686 Χρημάτων. χρυσοῦ, νομίσματος. Οἱ δὲ ἤγοντο, χρημάτων μεγάλων ἐωνημένοι.

Χρῆμα οἰκτρόν. ταπεινοί, ἐλέους ἄξιοι. Λιβύων δὲ πρέσβεις, χρῆμα οἰκτρόν, κατὰ κλέος τὸ τῆς παρθένου ἦκον, καὶ ἐδέοντο λύσιν τινὰ τοῦ λοιμοῦ λαβεῖν.

Χρήμη. χρεία καὶ σπάνις. Ἡρόδοτος εἰς τὸν βίον Ὁμήρου· Τοὺς ἐναντιωθέντας τῇ χρήμῃ αὐτοῦ. — ** ὅμως ἐν δαπανήμασι μεγάλοις ἐγένετο. τουτέστι, μετρίῳ πλούτῳ καὶ περιουσίᾳ.

Χρῇ μοι. μαντεύεται. Σοφοκλῆς·

Χρῇ μοι τοιαῦθ' ὁ Φοῖβος, ὧν πεύσῃ τάχα.

Χρῆν. ἔδει. Καὶ Ἐχρῆν, ἔπρεπε. Χρῆν δὲ μή, τὸ λεγόμενον, ἄστροις τὰ καθ' ὑμᾶς σημαίνεσθαι, μηδὲ τί λέγει φήμη πυνθάνεσθαι, ἀλλὰ μάλιστα μὲν ἔχειν συνόντας, εἰ δὲ μή, γράμμασιν ὑμετέροις ἐντυγχάνειν.

Χρῆναι. πρέπειν. Χρῆναι γὰρ ἤδη ἀφῖχθαι παρ' αὐτόν.

Χρῇς. χρῄζεις. ζητει ἐν τῷ Χρή.

Χρήσασθαι. δανείσασθαι.

Ὅτι τὸ χρῆσαι τοῦ δανεῖσαι αἱρετώτερον. τὸ μὲν γὰρ χρῆσαι ἐπὶ φίλων, τὸ δὲ δανεῖσαι πρὸς τοὺς τυχόντας.

Χρήσιμον. τὸ ἀγαθόν, ὅ τι χρῆσιν ὠφελείας παρέχεται.

Χρήσιμον. ὠφέλιμον. Οἱ δὲ οὕτω διεφθάρησαν, ὡς μηδὲ τῶν ναυαγίων μηδὲν γίνεσθαι χρήσιμον, ἀλλ' ἀχρειωθῆναι αὐτούς.

Χρήσιμον πρᾶγμα. ὅ τι χρείαν ὠφελείας παρέχεται· εὔχρηστον δὲ ὅ τι χρείαν ἐπαινετὴν ἀπεργάζεται.

---

10. *οἰκτρόν*] *οἰκτροί* hic et infra A. B. Exemplum Aeliano tribuit Valckenarius. 13. *Χρήμη*] Vid. Valcken. in Theocrit. p. 247. *Toup.* MS. Vocem Abreschius vindicavit Archilochi fr. 15. *Ἡρόδοτος εἰς τὸν βίον Ὁμήρου*] P. 335. [c. 14. p. 751. Wessel.] *Διηγήσατο τοὺς ἐναντιωθέντας λόγους τῇ χρήμῃ αὐτοῦ.* Quae autem sequuntur, *ὅμως ἐν δαπανήμασι μεγάλοις ἐγένετο*, nec apud Herodotum extant, nec ad rem praesentem facere videntur. *Küst.* Quaedam videntur excidisse. Equidem a praecedentibus seiunxi. *Gaisf.* Sententiam in Latinis supplevi. 17. *ἔχρησεν, ἐμαντεύσατο*] *μαντεύεται* A. B. Schol. Soph. *Σοφοκλῆς*] Electr. 35. 19. *Χρῆν δὲ μή, τὸ λεγόμενον*] Depromptus est hic locus ex Synesio Epist. 7. (monente Hemsterhusio in Aristoph. Plut. p. 469.) ubi recte legitur *τὰ καθ' ὑμᾶς σημαίνεσθαι*. Dicitur autem hoc proverbium de iis qui longius peregrinantur et in loca solitaria se conferunt, de quo Hesychius v. *Ἄστροις σημειοῦσθαι*, Triclinius in Sophocl. Oedip. Tyr. 805. Schol. Aeschyli Suppl. 398. Theophylact. Epist. I. *Ἐγά τι κοινὸν ἔχειν πρὸς τὸν δῆμον δέχομαι· ὅσγε οὕτως αὐτὸν πέφρικα τὸν Βριάρεων, ὥςτε καὶ ἄστρα σημαίνεσθαι.* Lege *ἄστροις σημαίνεσθαι*, quod proverbio signatum. Eleganter Libanius Vol. I. p. 347. *Τὴν δὲ ἰσχατιὰν καταλαβὼν καὶ τὴν ἐρημίαν ἀσπασάμενος ἦμην ἐπ' ἐμαυτοῦ· τὴν ἐκκλησίαν καὶ τὸ βῆμα καὶ τοὺς ἐνταυθοῖ θορύβους ἄστροις, τοῦτο δή τὸ τοῦ λόγου, τὸ λοιπὸν τεκμαιρόμενος.* Quod geminum est. Arrian. de Exped. Alex. l. III. p. 185. *Σημεῖα οὐκ ἔστι κατὰ τὴν ὁδὸν οὔτε που ὄρος οὔτε δένδρον οὔτε γήλοφοι βέβαιοι ἀνεστηκότες, οἷστισιν οἱ ὁδῖται τεκμαίροιντο ἂν τὴν πορείαν, καθάπερ οἱ ναῦται τοῖς ἄστροις.* Aelian. Hist. Anim. VII, 48. *Ἦκε δὲ οὖν ἐς τὴν Λιβύην καὶ τὰς μὲν πόλεις ἀπελίμπανε, καὶ τοῦτο δὴ τὸ λεγόμενον, ἄστροις αὐτὰς ἐσημαίνετο, προῄει δὲ ἐς τὴν ἔρημον. In Africam venit, urbesque quam longissime reliquit; in desertissimum autem locum contendit.* Atque hinc elucidandus insignis locus Aeliani, qui viros doctissimos frustra exercuit, Hist. Anim. II, 7. [ubi v. Jacobs.] Vid. supra v. *Ἀστρονομία. Toup.* II. p. 387. sq. *χρῆν* firmat codex ap. Boisson. in Anecd. II. p. 238. nam *χρή* edd. vulgg. Synesii.

1. *ἡμᾶς*] *ὑμᾶς* B. Med. Synes. Mox *ὑμετέροις* A. Med. Synes. *ἡμετέροις* vulg. 9. *τὸ χρῆσαι*] Ex Alexand. Aphrod. in Top. p. 134. *Gaisf.* Observationem hinc in v. *Δανεῖσαι* lectores traduxerunt. *Ὅτι* Gaisf. 10. *δανείσασθαι*] Potius *δανεῖσαι*, active. *Küst. δανεῖσαι* A. B. E inter vss. 12. *ὠφέλιμον*] *χρήσιμον*, *ὠφέλιμον* A. E. Edd. ante Küst. *Χρήσιμον* non expungendum videtur, sed alterius glossae caput constituendum. Idque feci. *Gaisf.* Praeierat ed. Med. Notabilis Ciceronis locus Tusc. III. 8. ubi frugi homines Graecis *χρησίμους* appellari observat. 14. *Οἱ δὲ οὕτω διεφθ.*] Ex Polybii lib. I. c. 54. sed ubi sic legitur: *Οἱ δὲ τῶν Ῥωμαίων στόλοι οὕτω διεφθάρησαν, ὥστε μηδὲ τῶν ναυαγίων μηδὲν γενέσθαι χρήσιμον, ἀλλ' ἀμφοτέρους αὐτοὺς ἄρδην καὶ παραλόγως ἀχρειωθῆναι.* Hinc Suidas supplendus est. *Küst.* 15. *μήτε*] *μὴ δὲ* A. B. 17. Vide Diog. Laert. VII, 99.

---

rum occidit, fas esse morte eum plecti eiusque bona prostare. ponitur item haec vox de re vel persona vel oratione: ut apud Antiphontem. item de mercibus mercatorum. Lysias autem de instrumento aureo ponit. *Χρημάτων.* Auro, pecunia. *Illi vero adducebuntur, ingenti pecunia empti.* *Χρῆμα οἰκτρόν.* Triste spectaculum et miserabile. *Afrorum legati, spectaculum miserabile, audita fama virginis venerunt, orantes ut a pestilentia liberarentur.* *Χρήμη.* Indigentia, inopia. Herodotus in vita Homeri: *Eos qui egestati ipsius adversati fuerant.* [Quamquam ille magna premebatur penuria,] *nihilominus sumptuosissime vixit.* *Χρῇ μοι.* Oraculum mihi reddidit, respondit. Sophocles: *Apollo ea mihi respondit, quae statim audies.* *Χρῆν.* Oportebat, decebat. item *ἐχρῆν. Non oportebat res vestras ex astris, ut vulgo dicitur, metiri, neque sciscitari quid fama ferret, sed principio nobiscum conversari, sin minus, litteras vestras legere.* *Χρῆναι.* Oportere. *Etenim oportere eos ad ipsum iam venisse.* *Χρῇς.* Indiges. quaere sub v. *Χρή.* *Χρήσασθαι.* Fenerari. *Mutuo dare satius est quam fenori dare. nam illud inter amicos locum habet, feneramur vero cuilibet.* *Χρήσιμον.* Bonum, quippe quod usum praebeat. *Χρήσιμον.* Utile. *Romanorum autem classes tempestate ita laborarunt, ut ne tabula quidem ullius usus e naufragio superesset, sed utraque penitus corrumperentur.* *Χρήσιμον πρᾶγμα.* Res quae usum affert. at *εὔχρηστον* dicitur id quod eximium usum

Χρῆσις. χρῆσις λέγεται τῶν χρησίμων τινὸς χρεία. χρήσιμα δὲ λέγεται τῶν ἀγαθῶν ἰδίως τὰ ὀργανικά.

Ὧν οὖν αἱ χρήσεις αἱρετώτεραι, καὶ αὐτὰ αἱρετώτερα. εἰ γὰρ ἡ χρῆσις τοῦ πλούτου τῆς χρήσεως τῆς ἰσχύος αἱρετωτέρα, καὶ ὁ πλοῦτος τῆς ἰσχύος αἱρετώτερος.

Χρῆσθαι. διοικεῖσθαι, δαπανᾶν, καταναλίσκειν. Τά τε ἐπιτήδεια παρεσκευακέναι ἄφθονα, καὶ ταῦτα προῖκα παρέξειν τῇ στρατιᾷ χρῆσθαι.

Χρήσθων. ἀντὶ τοῦ χρήσθωσαν. καὶ ζήτει ἐν τῷ Δρώντων.

Χρησμοδοτῶ καὶ χρησμοδότημα· χρησμῳδῶ δέ.

Χρησμός. προφητεία. Ὁ δὲ Σκηπίων ὁ στρατηγὸς τῶν Ῥωμαίων, κατὰ τὴν τῆς Καρχηδόνος καθαίρεσιν θαρσούντων Ῥωμαίων, ὡς ἐν εἰρήνῃ καὶ ἡσυχίᾳ τὸ λοιπὸν διάξουσι τοῦ χρόνου, παρελθὼν εἰς μέσους ἔφη· Νῦν μέντοι πολέμων ἀρχαὶ τὰ παρόντα· καὶ ἦν χρησμός, οὐ λόγος· κινδυνεύσομεν γὰρ μὴ ἔχοντες μήτε οὓς φοβήσομεν μήτε
687 οὓς φοβηθῶμεν. Καὶ αὖθις· Τοῖς Ἀθηναίοις ἐκπίπτει χρησμός, λέγων δεῖν χοὰς τοῖς ἐκδίκως τῶν Αἰτωλῶν τεθνεῶσιν ἐπάγειν ἀνὰ πᾶν ἔτος, καὶ ἑορτὴν Χοὰς ἄγειν· καὶ ἐκ τούτου εὐθηνεῖτο τὰ τῆς Ἀττικῆς. Ζήτει χρησμὸν ἐν τῷ Δόρυ κηρύκειον.

Χρησμός. ζήτει ἐν τῷ Τυρταῖος, καὶ ἐν τῷ Ἀνεῖλε, καὶ ἐν τῷ Θούλις, καὶ ἐν τῷ Αὔγουστος Καῖσαρ. καὶ τὸ τέλος τοῦ τοιούτου χρησμοῦ ἐν τῷ Σκηπίων. ζήτει χρησμὸν θαυμάσιον ἐν τῷ Δαφίδας. χρησμὸν περὶ ἔρωτος ἐν τῷ Διογένης. ζήτει χρησμὸν περὶ Αἰγιέων ἐν τῷ Αἰγιεῖς. ζήτει χρησμὸν καὶ ἐν τῷ Οἰδίπους.

Χρησμῳδεῖν. Θεολογεῖν.

Χρησμῳδημα. μάντευμα.

Χρηστά. χρήσιμα, καλά.

Χρῆσται. δανεισταί.

Χρήστης. καὶ ὁ δανείζων καὶ ὁ δανειζόμενος. ὁ δὲ Ἀριστοφάνης χρήστας τοὺς δανειστὰς λέγει. ἡ μὲν γὰρ συνήθεια τοὺς χρεωφειλέτας χρήστας καλεῖ. Ἀθηναῖοι δὲ τοὺς μὲν δανειστὰς χρήστας λέγουσιν, τοὺς δὲ ὀφειλέτας χρεωφειλέτας. Φωκυλίδης δὲ κατὰ τὴν συνήθειαν τοὺς χρεωφειλέτας χρήστας καλεῖ, λέγων·

Χρήστης κακοῦ ἔμμεναι ἀνδρὸς φεύγειν,
μή σ' ἀνιήσειε διδοὺς παρὰ καιρὸν ἀπαιτέων.

---

2. λέγεται] λέγονται A. 4. Ὧν αἱ χρήσεις αἱρετ.] Ex Alexandro Aphrodis. in lib. III. Topic. Aristot. *Küst.* ὧν οὖν A. B. E. Alex. p. 137. 6. τῆς ἰσχύος] τῆς om. A. 11. Χρήσθων] Aristoph. Nub. 440. 15. Ὁ δὲ Σκηπίων, ὁ στρατ.] Haec leguntur etiam supra v. *Σκιπίων*. *Küst.* Nunc quidem expulsa: unde petenda *μετὰ τὴν* et *διάξουται*. Porro copiosius ibi scripta sunt illa, *νῦν μέντοι χρὴ νομίζειν πολέμων ἀρχὰς τὰ παρόντα*, quibus accedit sub finem exquisitior dicendi ratio, *κινδυνεύσομεν γὰρ μήτε . . . φοβηθῶμεν ἀπολελοιπότες*. His omnibus ibi subiiciuntur sententiae quaedam, quarum fontem ignoramus. 17. ἐν εἰρήνῃ] τῇ εἰρήνῃ A. B. E. Med. 20. ὁ λόγος] οὐ λόγος A. E. cum gl. altera. Sed verba *καὶ ἦν — λόγος* reliquis subiici debuerunt. 22. Τοῖς Ἀθην.] Fragmentum hoc legitur etiam supra vv. Ἐκδίκως et Χοάς. *Küst.* Dein ἐμπίπτει Med. 23. ἐκδίκως] ἀδίκως A.

2. Χοὰς] Scribendum est Χόας: a recto Χόες: quod est nomen festi. *Küst.* εὐθηνεῖτο] εὐθυνοῖτο ἂν E. Med. 2. Ζήτει addidit A. Annotatio pertinet ad glossam continuam. 5. καὶ τὸ — Σκηπίων neglexit vulg. Debetur id additamentum homini studioso, qui superiorem locum in v. Χρησμός viderat a glossa Σκηπίων fluxisse; sed oportuit illud post φοβηθῶμεν reponi. 12. μάντευμα] θεολόγημα praemisit Lex. Bachm. p. 417. 15. Χρήστης] Vid. v. Συμβαλόντα. Toup. MS. Cf. v. Χρήσιην, et quae congessere Piersonus in Moer. p. 408. Toup. in Suid. II. p. 212. Utriusque significatus exempla praebent etiam Plut. Rom. 9. et Libanius T. I. p. 265. 16. ὁ δὲ Ἀριστοφ. χρήστας τοὺς δαν. λ.] Haec leguntur etiam apud Schol. Aristoph. Nub. 239. *Küst.* 18. Ἀθηναῖοι δὲ — καλεῖ om. B. E. 22. Χρήστης κακοῦ ἔμμ.] Metrum turbatum est, quod sic in ordinem redigi potest: Χρήστης φεύγειν κακοῦ ἔμμεναι ἀνδρός, Μή σέ γ' ἀνιήσειε διδούς, παρὰ καιρὸν ἀπαιτῶν. *Küst.* Vid. supra v. Ἀπαιτέων. κακοὺς A. φεύγειν (φεύγε Schol.) numquem locum tenuerit apud poetam non apparet. 23. μή σ'] μή γε A. Verisimiliter scribendum μή σ' ἔτ'. Nec vero satisfacit διδούς, ubi requiritur δούς.

---

praebet. *Χρῆσις.* Usus rei alicuius aptus. *utilia* vero peculiariter dicuntur instrumenta bonorum. — Quorum usus est optabilior, et ipsa sunt optabiliora. si enim usus divitiarum est optabilior usu roboris, sequitur ut ipsae divitiae robore sint optabiliores. *Χρῆσθαι.* Administrare, impendere, consumere. *Magnam commeatuum copiam se parasse, eiusque usum gratis exercitui praebiturum esse.* *Χρήσθων.* Utantur. quaere sub v. *Δρώντων*. *Χρησμοδοτῶ* et *χρησμοδότημα*. At *χρησμῳδῶ*. *Χρησμός.* Vaticinium. *Scipio autem Romanorum dux capta Carthagine, cum Romani sperarent imperium suum pacatum in posterum et tranquillum fore, in medium progressus, Hoc, inquit, tempus utique bellorum initium*; (id quod velut ex tripode dictum erat, non humana vox) *verendum est enim ut ullos habeamus, quos aut terreamus aut quos formidemus.* item: *Atheniensibus oraculum praecepit, ut Aetolis iniuste caesis quotannis inferias facerent, et festum Choas agerent. ex eo tempore Atheniensibus prospere omnia cesserunt.* Oraculum quaere in v. *Δόρυ κηρύκειον*. *Χρησμός.* Quaere in v. *Τυρταῖος*, v. *Ἀνεῖλε*, v. *Θούλις*, v. *Αὔγουστος Καῖσαρ*, et exitum illius oraculi in v. *Σκηπίων*. oraculum mirabile quaere in v. *Δαφίδας*. oraculum de amore in v. *Διογένης*. oraculum de Aegiensibus in v. *Αἰγιεῖς*. quaere etiam oraculum in v. *Οἰδίπους*. *Χρησμῳδεῖν*. Vaticinari. *Χρησμῴδημα*. Vaticinium. *Χρηστά*. Utilia, bona. *Χρῆσται*. Feneratores. *Χρήστης* tam dicitur qui fenori dat quam qui fenore accipit. Aristophanes autem *χρήστας* vocat feneratores. communis enim usus loquendi debitores sic dicit. Athenienses vero creditores vocant *χρήστας*, debitores autem *χρεωφειλέτας*. Phocylides vero secundum communem loquendi usum debitores vocat, cum dicit: *Cave ne debitor sis viri mali, ne pecunia data molestiam tibi exhibeat, intempestive repetens.*

Χρῆσται. δύο σημαίνει τοὔνομα τἀναντία· καὶ γὰρ τοὺς δανειστάς, ὥς παρ᾽ Ἰσαίῳ. Ἀριστοφάνης·

Ὑπὸ γὰρ τόκων χρήστων τε δυσκολωτάτων
ἄγομαι, φέρομαι, τὰ χρήματ᾽ ἐνεχυράζομαι.

ἐπὶ δὲ τοῦ δανειζομένου Δημοσθένης φησίν· Οἱ δὲ δανεισταὶ τὸ ἐξ ἀρχῆς ἠπατημένοι, ὁρῶντες ἑαυτοῖς ἀντὶ τῶν χρημάτων ἄνθρωπον πονηρὸν χρήστην, ἄλλο δὲ οὐδέν.

Χρήστην. καὶ τὸν δανείσαντα καὶ τὸν δανεισάμενον.

Χρηστήρια. τολμήματα, πράξεις. Σοφοκλῆς·

Κείνου χρηστήρια τἀνδρός.

ἢ τὰ διεφθαρμένα ποίμνια· παρὰ τὸ διαχρήσασθαι αὐτά. Χριστήρια δὲ τὰ μετ᾽ ἐλαίου κεχρισμένα, μεθ᾽ οὗ ἐχρίοντο οἱ ἱερεῖς, διὰ τοῦ ῐ.

Χρηστήριον. τὸ μάντευμα, ἤτοι τὸν χρησμόν, τὸ χωρίον, τὸ ἱερεῖον. τὸ μαντεῖον δὲ διχῶς.

Χρηστόν. χρήσιμον.

Ἐμπολήσαντές τι χρηστὸν εἰς ἀγρὸν ταρίχιον.

Χρηστός. ὁ ἀγαθός. Καὶ χρηστὸς ἐξ ἀγάπης, ἀλλ᾽ οὐκ ἐξ ἀνάγκης. Χριστὸς δὲ ὁ ἐν ἐλαίῳ κεχρισμένος. Καὶ Χριστός, ὁ Κύριος καὶ Θεὸς ἡμῶν.

Χρηστουργία. ἀγαθοεργία. Ἡ δὲ φεύγει, 688
ἐπιθυμοῦσα ἀμείψασθαί ποτε ἐπὶ χρηστουργίᾳ τὸν ἄνθρωπον.

Χρηστῶς. ἀντὶ τοῦ φυλακτικῶς. Ἀριστοφάνης·

Ἡ δ᾽ Ἀθηναίων πόλις,
εἰ τοῦτο χρηστῶς εἶχεν, οὐκ ἂν ἐσώζετο,
εἰ μή τι καινὸν ἄλλο περιειργάζετο.

ἀντὶ τοῦ, ἐφύλαττε τὸν ἀρχαῖον νόμον, καὶ μὴ ἐπολυπραγμόνει καὶ τὰς καινὰς ἔφερε πολιτείας.

Χρίμπτεται. προσκνᾶται, πελάζει, ἐγγίζει.

Εἰ δή τις φθιμένοις χρίμπτεται εὐφροσύνα.

Χρίομαι. αἰτιατικῇ. ἀλείφομαι. χρείω δὲ τὸ μαντεύομαι διὰ διφθόγγου, ἐπὶ ἐνεστῶτος μόνον· ἐπὶ δὲ μέλλοντος διὰ τοῦ η.

Χρίσασθαι. ἀλείψασθαι. Καὶ ἀποδυσάμενον χρίσασθαι κελεύει ἐλαίῳ.

Χρίσις. τὸ χρίσμα τοῦ τῆς βασιλείας ἐλαίου, ὅπερ οἱ προφῆται διὰ κέρατος ἐπιφερόμενοι ἔχριον

---

1. *Χρῆσται. δύο σημ.*] Ex Harpocratione. *Küst.* 2. *Ἀριστοφάνης*] Nub. 239. *καὶ παρ᾽ Ἀριστοφάνει* Harpocr. Quo repugnante post *ἀπαιτέων* Aristophanis locum tacite posuit Küsterus. 6. *Δημοσθένης*] In orat. adversus Zeonthem. p. 576. [885.] ubi sic legitur: *Οἱ δὲ δανεισταὶ ἐξ ἀρχῆς ἐξηπατημένοι, ὁρῶντες ἑαυτοῖς ἀντὶ τῶν χρημάτων ἄνθρωπον πονηρὸν χρήστην, ἄλλ᾽ οὐκ ἐλπίδ᾽ ἔχοντες* etc. *Küst.* Immo: *χρήστην, ἄλλο δ᾽ οὐδέν, ἐλπίδα ἔχοντες.* 7. *αὐτοὺς*] *ἑαυτοὺς* A. B. cum plerisque Harp. MSS. *ἑαυτῶν* E. *ἑαυτοῖς* Harp. Pal. 12. *Σοφοκλῆς*] In Ai. 220. Haec e Scholiis petita sunt, exceptis novissimis *χριστήρια δὲ κτλ.* 15. *ποίμνια λέγει*] *λέγει* om. A. B. 17. *μεθ᾽ οὗ*] *δι᾽ οὗ* E. Vide sub finem v. *Χρίσμα.* 18. *ὁ χρησμός*] *τὸν χρησμόν* A. *δηλοῖ δὲ ἡ λέξις καὶ τὸ μαντεῖον καὶ τὸν χρησμὸν καὶ τὸ ἱερεῖον* Schol. 19. *τὸ ἱερεῖον*] An potius *τὸ ἱερόν*? Sic putamus. *Küst.* Ego vero retinere maluerim *τὸ ἱερεῖον*, quia sic Sophoclis Schol. Ai. 220. Ammonius de Diff. *Ἱερεῖον καὶ χρηστήριον διαφέρει. ἱερεῖον μὲν γάρ ἐστι κοινῶς τὸ σφαζόμενον πρὸς θυσίαν ἅπασαν· χρηστήριον δὲ τὸ ἱερὸν ᾧ χρῶνται χρηστηριαζόμενοι. Ἡρόδοτος· καθάπερ ἔτι καὶ νῦν, ὅταν χρηστήρια θύωσιν ἐν τῷ ἱερῷ. Bos.* Quid impulerit Küsterum ut corrigeret *ἱερὸν* nescio. Triplicem docet Suidas verbi usum, quod aperte ostendunt illa, *τὸ μαντεῖον δὲ διχῶς.* Hoc vult lexicographus, duplici tantum sensu usurpari *μαντεῖον*, pro *oraculo* puta et *loco ubi editur oraculum*, non item ut illud pro *victima. Abresch.* in Aeschyl. II, 17. p. 358. Nic. Damasc. a Valesio edit. p. 510. *τὰ δὲ κεράμια τῶν χ.* ubi *χ.* sunt ea, *quae ad sacros usus pertinent. Toup.* MS. *τὸ ἱερεῖον* om. B. E. *μαντεῖον δὲ*] *μάντιον δὲ* A. 21. *Ἐμπολήσαντές τι*] Aristoph. Pac. 567. *Toup.*

1. Vide sub finem gl. *Χριστός.* 4. *Ἡ δὲ φεύγει*] Aeliano ut solet tribuit Valckenarius. 7. *Ἀριστοφάνης*] Eccl. 218 — 220. ubi v. Schol. 12. *ἐφυλάττετο*] *εἰ ἐφ.* B. *ἐφύλαττε* dedi cum A. et Schol. Rav. 13. *ἔφερε*] Lego *ἐφεῦρε. Küst. εἰσέφερε* Brunckius. Immo coniungendum *μὴ* cum *ἔφερε.* 15. *Εἰ δή τις φθιμ.*] Antipatri Sidon. LXXII, 6. Anthol. Pal. VII, 23. *φθιμένοις — εὐφροσύνα*] *φθιμένας — εὐφροσύνας* B. E. posterius cum Med. 16. Huius epimerismi partem in marg. V. iuxta gl. *Ἀργυρέαις* sic perscriptam vidi: *χρείω τὸ μαντεύομαι διὰ διφθόγγου. ὁ μέλλων χρήσω. χρίω δὲ τὸ ἀλείφω.* 17. Novissimam partem observationis ignorat Etym. M. 19. *ἀποδυσάμενον*] *ἀποδυσάμενοι* E.

Χρῆσται. Vox haec duas habet significationes, easque contrarias, nam et feneratores significat, ut apud Isaeum. Aristophanes: *Ab usuris et creditoribus molestissimis agor feroque, et bona mea oppignero.* debitorem vero dicit Demosthenes: *Creditores autem ab initio decepti sunt, videntes se pro pecunia habere debitorem eumque hominem improbum, aliud vero nihil.* *Χρήστην.* Et creditorem significat et debitorem. *Χρηστήρια.* Facinora, actiones. Sophocles: *Caedes ab illo viro factas.* hoc est, pecudes trucidatas. ab verbo *διαχρήσασθαι. χριστήρια* vero unguenta, quibus ungebantur sacerdotes, per ῑ. *Χρηστήριον.* Vaticinium, sive oraculum. locus oraculis reddendis. victima. duo vero significat *μαντεῖον.* *Χρηστόν.* Utile. *Salsamentum bonum mercati, quo rustici fruamur.* *Χρηστός.* Bonus. *Et ex amore, non necessitate bonus.* at *χριστός*, oleo unctus. et *Χριστός*, Dominus et Deus noster. *Χρηστουργία.* Beneficentia. *Illa vero fugit, cupiens hominem aliquando remunerare propter beneficentiam.* *Χρηστῶς.* Caute. Aristophanes: *Atheniensium vero civitas, si res ista recte se haberet, non foret incolumis, nisi semper novis rebus studeret.* id est, si priscum morem servaret, nec pro insita curiositate semper in republica novaret. *Χρίμπτεται.* Accedit, appropinquat, tangit. *Si qua defunctos voluptas tangit.* *Χρίομαι.* Ungor. at *χρείω*, vaticinor, per ει scribitur, idque in praesenti tantum. in futuro vero per η. *Χρίσασθαι.* Ungi. *Et exutum oleo iussit ungi.* *Χρίσις.* Oleum quo Prophetae e cornu reges unge-

τοῖς βασιλεῦσι. καὶ ὁ Δαβὶδ τῆς μὲν χρίσεως ἠξιώθη διὰ Σαμουήλ· τὰς δὲ τοῦ λαοῦ ἀναγορεύσεις ἡ ἱστορία χρίσεις ἀδιαφόρως ὠνόμασεν.

Καὶ αὖθις·

Νέκταρι δ' εἰνάλιαι Νηρηίδες ἐχρίσαντο,
καὶ νέκυν ἀκταίῃ θῆκαν ὑπὸ σπιλάδι.

ἀντὶ τοῦ ἔχρισαν.

Χρίσμα. τὸ τῆς βασιλείας. Ὅτι ὁ Δαβὶδ εἰς βασιλείαν τρίτον ἐχρίσθη. Καὶ σημαίνει καὶ τὸν ἐν ἐλαίῳ κεχρισμένον καὶ τὸν προφήτην. Χριστήρια δέ, μεθ' ὧν οἱ ἱερεῖς ἐχρίοντο τοπαλαιόν.

Χριστιανοί. ἐπὶ Κλαυδίου βασιλέως Ῥωμαίων, Πέτρου τοῦ ἀποστόλου χειροτονήσαντος Εὐόδιον ἐν Ἀντιοχείᾳ, μετωνομάσθησαν οἱ πάλαι λεγόμενοι Ναζαραῖοι καὶ Γαλιλαῖοι, Χριστιανοί.

Χριστίνα. ὄνομα κύριον. Καὶ Χριστίων, Χριστίωνος.

Χριστόδωρος, Πανίσκου, ἀπὸ Κοπτοῦ πόλεως τῆς Αἰγύπτου, ἐποποιός. ἤκμαζεν ἐπὶ τῶν Ἀναστασίου τοῦ βασιλέως χρόνων. ἔγραψεν Ἰσαυρικὰ ἐν βιβλίοις ς'· ἔχει δὲ τὴν Ἰσαυρίας ἅλωσιν τὴν ὑπὸ Ἀναστασίου τοῦ βασιλέως γενομένην. Πάτρια Κωνσταντινουπόλεως, ἐπικῶς, βιβλία ιβ'. Πάτρια Θεσσαλονίκης, ἐπικῶς, βιβλία κέ. Πάτρια Νάκλης· ἔστι δὲ πόλις περὶ Ἡλιούπολιν, ἐν ᾗ τὰ καλούμενα Ἄφακα. Πάτρια Μιλήτου τῆς Ἰωνίας. Πάτρια Τράλλεων. Πάτρια Ἀφροδισιάδος. Ἔκφρασιν τῶν ἐν τῷ Ζευξίππῳ ἀγαλμάτων· καὶ ἄλλα πολλά.

Χριστόδωρος, Θηβαῖος, Ἰλλούστριος. ἔγραψεν Ἰξευτικὰ δι' ἐπῶν· καὶ θαύματα τῶν ἁγίων Ἀναργύρων Κοσμᾶ καὶ Δαμιανοῦ.

Χριστός. ὁ Κύριος ἡμῶν καὶ Θεός.

Χρόα. ἡ χροιά. βαρυτόνως, ὡς ψόα. 689

Χροΐ δῆλα. ὅτι Φερεκύδην τὸν σοφὸν φασι φθειριάσαντα τελευτῆσαι· ὅτε καὶ Πυθαγόρου παραγενομένου καὶ πυνθανομένου, πῶς διακέοιτο, διαβαλόντα τῆς θύρας τὸν δάκτυλον εἰπεῖν· Χροΐ

1. *καὶ ὁ Δαβὶδ*] Theodoret. Quaest. in II. Regg. *Ἐρωτ.* 15. *Τῆς μὲν βασιλικῆς χρίσεως διὰ τοῦ Σαμουὴλ ἠξιώθη· τὰς δὲ τοῦ λαοῦ χειροτονίας χρίσεις ἡ ἱστορία καλεῖ. Gaisf.* 5. *Νέκταρι δ'*] Alcaei Messen. Ep. VII, 3. 4. Anthol. Pal. VII, 1. Haec glossae proximae subiungi iussit Toup. III. p. 199. 7. *ἀντὶ τοῦ ἔχρισαν* Med. post *ἐχρίσαντο*, recte, opinor. Silet Gaisf. 8. *Ὅτι* Gaisf. 9. *τὸ τρίτον εἰς βασιλείαν*] *εἰς βασιλείαν τρίτον* A. B. *ὧ δαδ εἰς βασιλείαν τούτου ἐχρ.* E. Lemma Theodoreti Quaest. 15. in II. Regg. *Τίνος χάριν ὁ Δαβὶδ τρίτον ἐχρίσθη? Gaisf. τὸν ἐλαίῳ κεχρισμένον*] Quod dicit Suidas voce significari etiam *τὸν κεχριμένον*, id sine dubio pertinet ad illa loca ubi משיח *unctus* vertitur *τὸ χρίσμα*, ut Dan. IX, 26. Amos. IV, 13. ubi alii *χριστός*. *Ernest. καὶ τὸν ἐν ἐλαίῳ* A. 11. *ἐχρίοντο οἱ ἱερεῖς* Edd. ante Gaisf. cum v. *Χρηστήρια*. 12. *ἐπὶ Κλαυδίου βασιλέως Ῥωμ.*] Haec leguntur etiam supra vv. *Γαλιλαῖοι* et *Ναζηραῖος*. *Küst.* Vid. Euseb. Chron. n. MMLIX. Mox *Ναζιραῖοι* A. *Ναζωραῖοι* Med. *Gaisf.* Utramque glossam ex nostra lectores interpolarunt. 18. *Χριστόδωρος*] Vide Iacobsii Catalogum Poetarum Anthol. T. XIII. p. 871. De Christodoris *Eudocia* p. 436. sq. *Κοπτοῦ*] Coptites, Leo Allat. de Homeri patria p. 75. *Reines.*

3. *Πάτρια*] Schaeferus in Bos. p. 134. interpretabatur *de moribus*: cui praierat Graevius in Luciani Solocc. 5. Immo dicuntur Antiquitates urbium: cf. Bastii Ep. Crit. p. 52. 5. *ἐπικῶς* addiderunt A. B. E. Deinde numerus ille *κέ* suspectus fuit Tafelio in libro quem eruditissime composuit de Thessalonica p. 7. 7. *Ἄφακα*] Sic recte MS. A. [et E.] At priores editt. male *Ἀλφακα*. De Aphacis autem vide quae notavit Bochartus lib. II. de Colon. Phoenic. c. 14. *Küst.* Gaisfordus addit Valesium in Euseb. de Vita Constant. III, 55. quem locum ipse Küsterus in glossa iam sublata *Νάκλις* his verbis compararat: „*Ἄφακα*] Erat locus in Phoenicia, cultu Veneris infamis, de quo praeter alios vide Euseb. de Vita etc." 8. *Ἔκφρασιν τῶν ἐν τ.*] Haec Ecphrasis hodie adhuc extat, et librum quintum Anthologiae Epigrammatum constituit. Confer Nos supra in v. *Ζεύξιππος. Küst.* 9. *ἐν τῷ Ζευξίππῳ*] Potius *ἐν τῷ Γυμνασίῳ τοῦ Ζευξίππου. Küst.* Statuas et imagines Zeuxippi (balnearum Constantinop. de quibus vid. Panciroli Not. imp. Or. p. 259.) carmine celebravit. *Reines.* Küstero non favet gl. *Ζεύξιππος*. Cf. Iacobs. in Anthol. T. XIII. p. 871. sq. *καὶ ἄλλα πολλά*] Horum vicem Eudocia, *Ἐπιγραμμάτων βιβλία γ'. Ἐπιστολῶν δ'*. 13. *Ἀναργύρων*] Portus vertit *Anargyrorum*. Sed mendum in hac voce latens non animadvertit. Scribendum enim est *Μαρτύρων. Küst.* Rectissime vulgo *Ἀναργύρων*. Vid. Fabric. Bibl. Gr. V. 32. T. IX. p. 68. *Gaisf.* De his accurate Ducangius in Gloss. med. Graec. sub v. 14. *καὶ θεὸς ἡμῶν*] Sic in v. *Χρηστός*. Sed *ἡμῶν καὶ θεός* A. Statim *Χριστός, καὶ ὁ κεχρισμένος ἐν ἐλαίῳ. χρηστὸς δὲ ὁ ἀγαθὸς διὰ τοῦ ἡ. ζήτει ὀπίσω χρηστός*, omiserunt A. E. 15. *Χρόα*] Vid. infra v. *Χροιά*. 16. *Φερεκύδην τὸν σοφὸν φασι φθειρ.*] Haec sunt verba Laertii in Pherecyde [I, 118.], sed apud quem pro *χροΐ* legitur *χρωτί*. Confer etiam Nostrum supra v. *Ἐπηλυγάζονται. Küst. χροΐ* Laertii liber. *χρῷ δῆλον* gl. superior. *Ὅτι* Gaisf. 19. *τὸν δάκτυλον διὰ τῆς θύρας*] *τῆς θύρας τὸν δάκτυλον* A. B. Diog. *διὰ* om. Med.

bant. quorum David oleo hoc a Samuele unctus est. populi vero salutationes historia sine discrimine unctiones vocat. Et *Ἐχρίσαντο*, unxerunt. *Nectare autem marinae Nereides unxerunt, et cadaver sub litoris rupe posuerunt.* *Χρίσμα*. Unguentum regni. David ter unctus est rex. *χρίσμα* dicitur de eo qui oleo unctus est, ut rex et propheta. Et *χριστήρια*, unguenta, quibus sacerdotes olim ungebantur. *Χριστιανοί*. Sub Claudio Romanorum Imperatore, cum Petrus Apostolus Euodium Antiochiae episcopum designasset, qui olim vocabantur Nazaraei et Galilaei, mutato nomine vocati sunt Christiani. *Χριστίνα*, Nomen proprium. Et Christio, Christionis. *Χριστόδωρος*. Christodorus, Panisci F. ex Copto urbe Aegypti, poeta epicus. floruit temporibus Anastasii Imperatoris. scripsit Isaurica libris sex, qui continent Isauriae expugnationem ab Anastasio Imperatore factam. Origines Constantinopolis, versibus heroicis, lib. XII. Origines Thessalonices, lib. XXV. Origines Nacles, quae fuit urbs prope Heliopolin, insignis Aphacis ita dictis. Origines Mileti, urbis Ioniae. Origines Trallium. Origines Aphrodisiadis. Ecphrasin sive descriptionem statuarum in Gymnasio Zeuxippi; et alia multa. *Χριστόδωρος*. Christodorus, Thebanus, Illustris. scripsit de Aucupio, versibus. item miracula sanctorum Martyrum Cosmae et Damiani. *Χριστός*. Christus, Dominus et Deus noster. *Χρόα*. Color. habet accentum gravem, ut *ψόα*. *Χροΐ δῆλα*. Ex cute manifestum. Pherecydem sapientem a pediculis consumptum obisse ferunt. cumque Pythagoras ad eum accessisset, quaerens quomodo valeret, digito per fores exerto dixit: *Ex cute manifestum.* hinc dictum illud a philologis usurpari coepit

δῆλα. καὶ τοὐντεῦθεν παρὰ τοῖς φιλολόγοις ἡ λέξις ἐπὶ τῶν χειρόνων τάττεται. οἱ δὲ ἐπὶ τῶν βελτίστων χρώμενοι διαμαρτάνουσι.

Χρόμαδος.

Χρόμιος. ὄνομα κύριον.

Χρόμωνος.

Χρόνος. οἱ φιλόσοφοι ἀσώματον αὐτὸν εἶναί φασι, διάστημα ὄντα τῆς τοῦ κόσμου κινήσεως. τούτου δὲ τὸν μὲν παρῳχηκότα καὶ τὸν μέλλοντα ἀπείρους, τὸν δὲ ἐνεστῶτα πεπερασμένον. ἀρέσκει δ' αὐτοῖς καὶ φθαρτὸν εἶναι τὸν κόσμον. οὐ γὰρ τὰ μέρη φθαρτά ἐστι, καὶ τὸ ὅλον. τὰ δὲ μέρη τοῦ κόσμου φθαρτά· εἰς ἄλληλα γὰρ μεταβάλλει· φθαρτὸς ἄρα καὶ ὁ κόσμος. καὶ εἴ τι ἐπιδεκτικόν ἐστι τῆς ἐπὶ τὸ χεῖρον μεταβολῆς, φθαρτόν ἐστι· καὶ ὁ κόσμος· ἐξαυχμοῦται γοῦν καὶ ἐξυδατοῦται.

Χρόνος γὰρ εὔμαρὴς θεός. τουτέστιν, ὁ χρόνος εὐμαρῶς παρέρχεται. ἢ οὕτως· εὐχερής ἐστιν ὁ χρόνος, ὥστε μετελθεῖν τοὺς ἀδίκους.

Χρόνου πόδα. ἀπὸ τοῦ Εὐριπίδου. Ἀριστοφάνης·

Αἰθέρα Διὸς δωμάτιον ἢ χρόνου πόδα.

ἀντὶ Εὐριπίδου τοῦ ταῦτα λέγοντος. Καὶ αὖθις·

Χρόνου γὰρ ἄν σοι καιρὸν ἐξείργοι λόγος.

Σοφοκλῆς. ἀφαιρεῖται γὰρ τὴν εὐκαιρίαν τῶν μελλόντων πραχθῆναι ἡ τῶν λόγων ἀδολεσχία.

Χρούς. σώματος. καὶ Ὅμηρος·

Ἀλλ' οὔπη χρυὸς εἴσατο.

διήρηται ὁ χρόνος ἀντὶ τοῦ ὁ χρώς. διὸ καὶ βαρύνεται. τὸ δὲ εἴσατο, ἐφάνη.

Λοῦσαι δ' Ἰνωπῷ καθαρὸν χρόα, βᾶθι δ' ἐς οἴκους.

Χρώζω καὶ *καταχρώζω*. Τὸ καλὸν τοῦ πράγματος κατέχρωζε.

Χρῶμα. τοῦτο σημαίνει τὸ ἐν τοῖς σώμασιν, ὡς τὸ λευκὸν καὶ τὸ μέλαν καὶ τὰ τούτων μεταξύ. σημαίνει καὶ τὸ ἐν τοῖς μέλεσι· λέγεται γάρ τι καὶ κατὰ μουσικὴν χρῶμα. τρία γὰρ μέρη τῆς μελῳδίας 690 οἱ ἁρμονικοὶ εἶναί φασιν, ἃς ἰδίως χρόας καλοῦσι, τήν τε τοῦ μαλακοῦ χρώματος καὶ τὴν διατονικοῦ χρώματος. καί εἰσι διαφοραὶ ἄλλαι μὲν τοῦ ἐν τοῖς σώμασι χρώματος· ὡς τὸ συγκριτικὸν καὶ διακριτικὸν ὄψεως· ἄλλαι δὲ τοῦ ἐν τοῖς μέλεσι· τὸ γὰρ ἡμιτονιαῖον καὶ διεσιαῖον καὶ τὸ μαλακὸν ὁμώ-

---

1. *φιλοσόφοις*] *φιλολόγοις* A. et MS. Laertii, cui repugnat Arsenius p. 477. et Sturzii iudicium. 4. Huic lemmati quae subiiciebantur, *Ὅμηρος· Λεινὸς δὲ χρύμαδος.* (Il. η'. 688.) *τὸν ἐν ταῖς γένυσιν ὑπὸ τῶν πληγέντων γενόμενον ψόφον χρόμαδον ὠνόμασεν*: ea delevi cum A. B. E. Suppeditaverat Zon. p. 1859. 7. *Χρόνος. οἱ φιλόσοφοι αὐτὸν ἀσώμ.*] Totum hunc articulum descripsit Suidas ex Laertio in Zen. Cit. num. 141. ut Pearsonus etiam observaverat. *Küst.* *αὐτὸν ἀσώματον*] *ἀσώματον αὐτὸν* dedi cum A. 16. *γοῦν*] *γὰρ* Diog. 17. *Χρόνος γὰρ εὔμαρ.*] Ex Schol. Sophocl. Electr. 179. Monuerat Portus. 20. *Εὐριπίδου*] *τοῦ Εὐριπίδου* dedi cum A. *Ἀριστοφάνης*] Ran. 100. *Küst.* Fugit cum versiculus alter 314. cui accommodatur interpretatio *ἀντὶ τοῦ τὸν Εὐριπίδην* in Scholiis Comici.

2. *Χρόνου γὰρ ἄν σοι κ.*] Est versus Sophoclis in Electr. 1292. ut Portus monuit. Ibi autem pro *ἐξαίρει* legitur *ἐξείργοι*. Sed Suidae lectio magis placet; dummodo mutato accentu scribas *ἐξαιροῖ*, ab *ἐξαιρέω*. Sic Latini dicunt *tempus alicui eximere*. *Küst.* *ἐξαίροι*] *ἐξείργοι* A. *ἐξαίρῃ* B. 4. *λόγων*] *ἀλόγων* B. E. *τῶν λόγων ἡ ἀδ.* Schol. Soph. 5. *Ὅμηρος*] Il. *ν*. 191. *Küst.* Observationis pars fluxit e Schol. Ven. 7. Post Homerica delevi *ἀντὶ τοῦ σώματος* cum A. *εἴσατο · σώματος* om. E. *χρόος*] *ὁ χρόος* A. E. *χροῦς*] *χρὼς* A. B. E. *χρὺς* Med. Cf. Herod. *π. μον. λ.* p. 14. 8. Post *εἴσατο* delevi *ἤγουν* cum A. Vide gl. *Εἴσατο*. 9. *Λοῦσαι δ' Ἰνωπ.*] Nossidis Ep. III, 3. Anthol. Pal. VI, 273. Versus recurrit in v. *Ἰνωπός*. *Ἰνωπῷ*] *Οἰνωπῷ* A. 11. Integrum locum praestat gl. *Κατέχρωζεν*. 13. *τοῦτο σημαίνει*] Sumptus locus ex Alexand. Aphrod. in Topic. p. 60. *Gaisf.* 14. *λευκὸν χρῶμα*] *χρῶμα* om. A. 15. *καὶ κατὰ*] *καὶ* om. A. 16. *τρία γὰρ μέλη τῆς μελῳδίας · ἁρμονικὸν εἶναί φ.*] Locus hic salebrosus est et procul dubio corruptus, in quo vertendo non tam verba quam sensum secuti sumus. *Küst.* Vide nos supra in v. *Χιάζων*, ubi hunc locum restituimus. *Toup.* II. p. 377. *μέρη* dedit Gaisfordus ex Alexandro. Deinde *μελῳδίας ζοί* add. E.) *ἁρμονικοί* A. B. E. *οἱ ἁρμονικοί* Alex. 17. *φασίν*] Addit Alexand. *ἁρμονίαν, χρῶμα, διάτονον· ὧν τοῦ χρώματος διαφορὰς φασιν, ἃς ἰδίως* etc. Redde Suidae quae ad sensum necessaria sunt. *Gaisf.* Adde Heind. in Plat. Soph. 58. et laciniam gl. *Χρωτίζεται*. 18. *διατονικοῦ*] *διὰ τοῦ τονικοῦ* B. E. *καὶ τὴν τοῦ ἡμιολίου, καὶ τὴν τοῦ τονιαίου χρώματος. ἐπεὶ οὖν εἰσιν ἄλλαι μὲν διαφοραὶ* Alex. 22. *καὶ διεσιαῖον* om. Med. *ὁμώνυμα*] *ὁμώνυμον τὸ λευκὸν* Alex.

---

de rebus quae in deterius vergunt. contra qui eo de rebus prosperis utuntur, errant. *Χρόμαδος.* *Χρόμιος.* Nomen proprium. *Χρόμωνος.* *Χρόνος.* Philosophi dicunt tempus esse incorporeum, quod intervallum sit motus mundani. iidem tempus quidem praeteritum et futurum infinitum esse, praesens vero finitum. placet etiam illis, mundum corruptioni obnoxium esse. cuius enim partes corruptioni obnoxiae sint, etiam totum. atqui partes mundi corruptioni obnoxiae sunt: aliae enim in alias mutantur. ergo ipse mundus corruptioni obnoxius est. et si quid ita comparatum est, ut in peius mutari possit, id corruptioni obnoxium est. ergo mundus. nam calore torretur idemque in humorem solvitur. *Χρόνος γὰρ εὔμ. Tempus enim facilis est deus.* hoc est, tempus facile praeterit. vel ita: tempus est promptum ad iniustos persequendos. *Χρόνου πόδα.* Temporis pedem. Euripidis dictum. Aristophanes: *Aetherem Iovis cubiculum vel temporis pedem.* item: *Rei enim peragendae occasionem tibi eximat oratio.* Sophocles. hoc est, eorum quae facienda sunt opportunitatem tibi adimet vana loquacitas. *Χρούς.* Corporis. Homerus: *Sed nullam corporis partem perstrinxit.* vox *χρόος* solvitur pro *χρώς*. ideo gravem habet accentum. *εἴσατο* autem est apparuit. item: *Ablue corpus purum in Inopo, et domum intra.* *Χρώζω* et *καταχρώζω*. *Dignitatem negotii dehonestabat.* *Χρῶμα*. Colorem significat, qui est in corporibus, ut color albus, niger et qui sunt inter hos medii. item colorem qui est in canticis. nam musicae color quidam dicitur. tria enim genera melodiae esse dicunt harmoniae magistri, quos proprie vocant colores in intentiore et molliore genere. sunt autem differentiae aliae coloris, qui est in corporibus, ut qui radios oculorum colligit vel dissipat; aliae coloris qui in carminibus spectatur. nam semitoniaeus, diesiaeus, mollis homonyma sunt. Diodo-

νυμα. Διόδωρος· Ὁ δὲ βάρβαρος μαστιζόμενος, ὄμμα ἔχων ἄτρεπτον καὶ χρῶμα, καθάπερ θηρίον ἐκαρτέρει.

Χρῶμα. ὅτι ὀπηνίκα τὸ κρυσταλλοειδὲς τοῦ ὀφθαλμοῦ ἀπό τινος πάθους χρωματισθῇ, δοκοῦμεν τῷ αὐτῷ χρώματι καὶ τὸν ἀέρα καὶ τἄλλα ὁρατὰ κεχρῶσθαι.

Χρῶμα δέ φησιν ὁρατὸν τὸ ἐπὶ τοῦ καθ' αὑτὸ ὑπάρχον ὁρατοῦ. καθ' αὑτὸ δὲ ὁρατόν φησι τὴν ἐπιφάνειαν. καθ' αὑτὸ δὲ ὁρατὸν ἡ ἐπιφάνεια, οὐχ οὕτως ὡς τῷ ὁρισμῷ καθ' αὑτό. διττὸν γὰρ τὸ καθ' αὑτό. ἢ ὅπερ ἐν τῷ ὁρισμῷ τοῦ ὑποκειμένου παραλαμβάνεται· ὡς τὸ ζῷον καὶ τὸ λογικὸν ἐν τῷ τοῦ ἀνθρώπου ὁρισμῷ. ταῦτα γὰρ καθ' αὑτὸ ὑπάρχει τῷ ἀνθρώπῳ· ἢ οὗ ἐν τῷ ὁρισμῷ τὸ ὑποκείμενον παραλαμβάνεται· ὡς ἐν τῷ ὁρισμῷ τοῦ ἀρτίου ἡ τοῦ περιττοῦ ὁ ἀριθμός, καὶ ἐν τῷ ὁρισμῷ τῆς σιμότητος ἡ ῥίς. ταῦτα γὰρ καθ' αὑτὸ ὑπάρχουσι τῷ ὁρισμῷ. οὐχ οὕτως οὖν φησι καθ' αὑτὸ ὁρατὸν τὴν ἐπιφάνειαν, ἀλλ' ὡς ἔχουσαν ἐν ἑαυτῇ τὸ αἴτιον τοῦ ὁρατὴν εἶναι. τοῦτο δέ ἐστι τὸ χρῶμα. τὸ γὰρ ἐν τῇ ἐπιφανείᾳ χρῶμα τοῦτό ἐστι τὸ ὁρατόν, καὶ τούτου αἱ ὄψεις ἀντιλαμβάνονται, οὐ τοῦ ἐν βάθει χρώματος. τοὺς γὰρ διαφανεῖς τῶν λίθων εἰ καὶ δοκοῦμεν ὁρᾶν δι' ὅλου τοῦ βάθους κεχρωσμένους, τὰς ὄψεις ἀπατώμεθα. τῷ μὲν γὰρ διαφανεῖς εἶναι τοὺς λίθους, διαβαίνουσι διὰ τοῦ βάθους αἱ ὄψεις ἢ τῶν χρωμάτων αἱ ἐνέργειαι. διὰ τοῦ χρώματος δὲ τοῦ ἐν τῇ ἐπιφανείᾳ τῶν λίθων ἀντιλαμβανόμεθα· καὶ διὰ τοῦτο δοκοῦμεν καὶ τὸ ἐν βάθει χρῶμα ἑωρακέναι.

Καὶ Πισίδης·

Οὐκ ἔστι ταῦτα πρὸς χάριν κεχρωσμένα,
ἁπλοῖ δὲ πάντες τῆς ἀληθείας λόγοι.

Ζήτει περὶ χρώματος ἐν τῷ Φαιόν.

Χρῶμαι. δοτικῇ.

Χρωμένῳ. χρησμὸν αἰτοῦντι, χρησμὸν ἐπερωτῶντι, ἢ μαντευομένῳ.

Χρῶμις. ὄνομα κύριον.

Χρωννύω. Χρωννῦσα.

Χρῶνται.

Χρώς. σῶμα, ἰδέα.

Χρῶσαν. τὴν χρησμῳδοῦσαν. Χρῶσαν Λακεδαιμονίοις. Θουκυδίδης.

Χρωσθῆναι. χρωματισθῆναι.

Χρωστήρ. ὁ χρωματίζων. ἐν Ἐπιγράμματι·

